καὶ εὐθέως ἐξελθὼν ἐκ τοῦ μαντείου συσκευασθεὶς ὑπὸ τῶν ἰδίων ἐσφάγη ἐν τῇ Ἀφρικῇ χώρᾳ. ταῦτα δὲ τὰ ἀρχαῖα καὶ παλαιὰ βασίλεια τῶν Αἰγυπτίων Μανέθων συνεγράψατο. καὶ ἐν τοῖς συγγράμμασιν αὐτοῦ ἐμφέρεται ἄλλως λέγεσθαι τὰς ἐπωνυμίας τῶν πέντε πλανητῶν ἀστέρων. τὸν γὰρ λεγόμενον Κρόνον
P 47 ἀστέρα ἐκάλουν τὸν Λάμποντα, τὸν δὲ Διὸς τὸν Φαέθοντα, τὸν δὲ Ἄρεως τὸν Πυρώδη, τὸν δὲ Ἀφροδίτης τὸν Κάλλιστον, τὸν δὲ Ἑρμοῦ τὸν Στίλβοντα.

Ἐν τοῖς μετὰ ταῦτα χρόνοις ἐβασίλευσεν τῶν Αἰγυπτίων πρῶτος ἐκ τῆς φυλῆς τοῦ Χὰμ Σέσωστρις, ὅστις ὁπλισάμενος ἐπολέμησεν Ἀσσυρίοις καὶ ὑπέταξεν αὐτοὺς καὶ τοὺς Χαλδαίους καὶ Πέρσας ἕως Βαβυλῶνος. ὁμοίως δὲ ὑπέταξε καὶ τὴν Ἀσίαν πᾶσαν καὶ τὴν Εὐρώπην καὶ τὴν Σκυθίαν καὶ τὴν Μυσίαν· καὶ ἐν τῷ ὑποστρέφειν αὐτὸν ἐπὶ τὴν Αἴγυπτον ἐκ τῆς χώρας τῆς Σκυθίας ἐπελέξατο ἀνδρῶν νεανίσκων πολεμιστῶν χιλιάδας δεκαπέντε, οὕσ-

4. ἔντομον non intellectum omiserunt qui haec repetierunt Malalas, Cedrenus, Suidas. 5. αἰώνων P. ἀέναον Lobeckius Aglaoph. p. 459. ibid. θνητέ, βάδιζε P. 6. διανοιῶν P. 8. τὰ om. P. 9. Μανεθὼ P. 13. πυῤῥώδη V. 15. τοῖς] τούτοις P. 18. δὲ om. P. 21. ὑπελέξατο P.

qui coeli cursum moderaris, quis antequam regnarem potuit sibi subjicere omnia: aut quis poterit post me? Datumque est illi ejusmodi oraculum:

Ipse Deus primum, dein, juncto flamine, Verbum:
Haec tamen existunt simul omnia, et omnia in unum
Distinctim veniunt: cujus sine fine potestas:
Tu certo incertum vitae pede dirige callem.

Egressusque confestim ex oraculo, insidiis a suis appetitus, interfectus est in Africa. Has autem veteres et antiquas Aegyptiorum Regum historias Menetho conscripsit. Sed et in illius commentariis aliter efferri proditur quinque planetarum astrorum nomina. Astrum enim Saturnum appellatum Lampontem: Iovem Phaethontem, Martem Pyrodem; Venerem Callistum: Mercurium denique Stilbontem vocabant.

His posthaec temporibus primus apud Aegyptios regnavit ex tribu Cham Sesostris, qui instructis copiis bellum intulit Assyriis, eosque subegit, ut et Chaldaeos et Persas usque ad Babylonem. Subegit pariter universam Asiam, Europam, Scythiam, et Mysiam: cumque in Aegyptum reverteretur ex Scythiae regionibus, delegit juvenum bellatorum quindecim millia, quos in Persidem traduxit, ibique habitare jussit, concessa

τινας μετανάστας ποιήσας ἐκέλευσεν αὐτοὺς οἰκεῖν ἐν τῇ Περσίδι, B *δοὺς αὐτοῖς χώραν ἐκεῖ ἣν ἐπελέξαντο. καὶ ἔμειναν ἐν Περσίδι οἱ αὐτοὶ Σκύθαι ἐξ ἐκείνου ἕως τῆς νῦν, οἵτινες ἐκλήθησαν παρὰ τῶν Περσῶν Παρθυαῖοι, ὅ ἐστιν Περσικῇ γλώσσῃ Σκύθες, οἳ καὶ τὴν φορεσίαν καὶ τὴν λαλιὰν καὶ τοὺς νόμους Σκυθῶν ἔχουσιν ἕως τῆς νῦν, καὶ εἰσὶν μαχιμώτατοι ἐν τοῖς πολέμοις, καθὼς* V 39 *Ἡρόδοτος ὁ σοφώτατος ταῦτα συνεγράψατο.*

Ἐν τοῖς χρόνοις τῆς βασιλείας Σεσώστριος ἦν Ἑρμῆς ὁ τρισμέγιστος ὁ Αἰγύπτιος, ἀνὴρ φοβερὸς ἐν σοφίᾳ· ὅστις ἔφρασεν τρεῖς μεγίστας δυνάμεις εἶναι τὸ τοῦ ἀῤῥήτου καὶ δημιουργοῦ θεοῦ ὄνομα, μίαν δὲ θεότητα εἶπεν εἶναι. διὸ καὶ ἐκλήθη ἀπὸ τῶν R 110 C *Αἰγυπτίων τρισμέγιστος Ἑρμῆς. ἐμφέρεται γὰρ ἐν διαφόροις αὐτοῦ λόγοις πρὸς Ἀσκληπιὸν εἰρηκὼς περὶ θεοῦ φύσεως ταῦτα· „εἰ μὴ πρόνοιά τις ἦν τοῦ πάντων κυρίου ὥστε μοι τὸν λόγον τοῦτον ἀποκαλύψαι, οὐδὲ ὑμᾶς τοιοῦτος ἔρως κατεῖχεν, ἵνα περὶ τούτου ζητήσητε· οὐ γάρ ἐφικτόν ἐστιν εἰς ἀμυήτους τοιαῦτα μυστήρια παρέχεσθαι, ἀλλὰ τῷ νοῒ ἀκούσατε. ἓν μόνον ἦν φῶς νοερὸν πρὸ φωτὸς νοεροῦ, καὶ ἦν ἀεὶ νοῦς νοὸς φωτεινός, καὶ οὐδὲν ἕτερον ἦν ἢ ἡ τούτου ἑνότης, ἀεὶ ἐν ἑαυτῷ ὢν ἀεὶ τῷ ἑαυτοῦ νοῒ καὶ φωτὶ καὶ πνεύματι ἅπαντα περιέχει. ἐκτὸς τούτου* D

1. *μετανασθάσαι* P sola. 4. *Παρθίδιοι* PV, *Παρθηνοὶ* m. R. *ib.* *τῇ Περσικῇ* P. 8. *Σέσωστρι ὃς* V, *Σέσωστρις* P, *Σέσωστρις ὃς* R. 11. *δὲ* om. P. 14. *ἦν τοῦ* Malalas p. 26. 15., *ἢ τῶν* PV. *ibid.* *μοι*] *με* Cyrillus c. Iulianum I. p. ed. Spanh. 35. C. *ib.* *τοιοῦτον* P. 16. *ζητήσεται* P. 18. *καὶ νοὸς φωτεινὸς*] *νοῦ αἴτιος* P sola. Correxi ex Cyrillo. 19. *ἢ* om. V, *ἤ* R. *ib.* *ἑαυτῷ*] *αὐτῷ* P sola. *ibid.* *τῷ ἑαυτοῦ*] *ἐν τῷ αὐτῷ* P sola. 20. *πάντα* P sola.

illis quam delegissent regione. Ex eoque tempore Scythae illi in Perside manserunt, qui a Persis Parthidii nuncupati sunt, quod Persica lingua Scythas sonat, qui et habitum et idioma ac leges Scytharum usque nunc servant, maximeque virtute bellica praestant, quemadmodum haec tradit doctissimus Herodotus.

Dum regnaret Sesostris, extitit Hermes Trismegistus Aegyptius, vir sapientia suspiciendus, qui tres maximas esse Potentias asserebat, nomen inenarrabilis et opificis Dei unam Deitatem esse dixit. Propterea appellatus est ab Aegyptiis Trismegistus Mercurius. Reperitur enim in variis ejus libris ad Aesculapium haec de Deo dixisse: *Nisi providentia quaedam sit omnium Domini, quae mihi hunc sermonem aperuisset, haud vos hujusmodi cupido incessisset, ut de eo quaestionem institueretis, neque enim fas est profanis haec arcana committere: verum mente haec duntaxat attendite. Erat lux intelligens ante lucem intelligentem, eratque semper mens quae menti causa esset, neque quidquam erat aliud quam hujus mentis unitas. Ea mens cum semper in seipsa sit, semper sua ipsius mente, luce, atque spiritu universa continet. Extra eam mentem*

οὐ θεός, οὐκ ἄγγελος, οὐ δαίμων, οὐκ οὐσία τις ἄλλη. πάντων γὰρ κύριος καὶ πατὴρ καὶ θεός, καὶ πάντα ἐν αὐτῷ καὶ ὑπ' αὐτόν ἐστιν. ὁ γὰρ λόγος αὐτοῦ προελθὼν παντέλειος ὢν καὶ γόνιμος καὶ δημιουργός, ἐν γονίμῳ φύσει πεσὼν ἐν γονίμῳ ὕδατι ἔγκυον τὸ ὕδωρ ἐποίησεν. καὶ ταῦτα εἰρηκὼς ηὔξατο λέγων, Οὐρανὸν ὁρκίζω σε, θεοῦ μεγάλου σοφὸν ἔργον· ἵλεως ἔσο. ὁρκίζω σε φωνὴν πατρός, ἣν ἐφθέγξατο πρώτην, ἡνίκα κόσμον ἅπαντα ἐστηρίξατο βουλῇ· φωνὴν πατρός, ἣν ἐφθέγξατο πρώτην τὸν μονογενῆ λόγον αὐτοῦ.

P 48 *Ταῦτα καὶ ἐν τοῖς κατὰ Ἰουλιανοῦ βασιλέως ὑπὸ τοῦ ὁσιωτάτου Κυρίλλου συνταχθεῖσιν ἐμφέρεται πρὸς ἀπόδειξιν σαφεστέραν ὅτι καὶ ὁ τρισμέγιστος Ἑρμῆς ἀγνοῶν τὸ μέλλον τριάδα ὁμοούσιον ὡμολόγησεν.*

Ὁ δὲ Σέσωστρις βασιλεὺς μετὰ τὴν νίκην καταλαβὼν τὴν Αἴγυπτον τελευτᾷ, καὶ ἐβασίλευσεν μετ' αὐτὸν τῆς τῶν Αἰγυπτίων χώρας Φαραὼ ὁ καὶ Νάχωρ καλούμενος, καὶ ἐκ τοῦ αὐτοῦ γένους ἐβασίλευσαν Αἰγυπτίων οἱ λοιποί.

Ῥαγαῦ ρλβ', ὁμοῦ ͵γνγ'.
ἐπέζησεν σζ', ὁμοῦ τλθ'.
B *Σερούχ ρλ', ὁμοῦ ͵γρπγ'.*

1. *οὐ* prius om. P sola. 2. *ὁ κύριος* P sola. *ibid.* *πάντα ὑπ' αὐτοῦ καὶ ἐν αὐτῷ* P sola. 5. *ἐπέδειξεν* P sola. 8. *πρωτίστην* P. Caeterum post *αὐτοῦ* addendum *φησί* ex Cyrillo. 10. *τοῦ β.* P sola. 11. *συναχθεῖσιν* P.

neque Deus est, neque Angelus, neque daemon, neque alia natura; omnium enim Dominus Deus et pater est, sub ipso et in ipso omnia sunt. Sermo enim ipsius qui perfectus omnibus modis est, et foecundus ac opifex ab ipsa progressus mente, inque aquam, cujus est foecunda natura, incidens, foetam aquam reddidit.

Haec fatus Hermes, sic precatus est: *Adjuro te, Coelum, Dei magni sapiens opus, propitiare. Adjuro te vocem Patris, quam tum primam effatus est, quando mundum universum consilio firmavit, vocem Patris, quam primam protulit, unigenitum Verbum suum.*

Haec etiam in iis quae a sanctissimo Cyrillo adversus Julianum Imperatorem collecta sunt, referuntur, ut evidenter ostenderet Mercurium Trismegistum futurarum rerum inscium, unam Trinitatis essentiam confessum esse.

Sesostris vero Rex parta victoria, reversus in Aegyptum moritur: et post illum regnavit in Aegypti regione Pharao, qui et Nachor dictus est, ex ejusque stirpe caeteri apud Aegyptios regnarunt.

Rhagau, 132. Colliguntur anni 3053.
Supervixit 207. coll. an. 339.
Seruch, 130. coll. an. 3183.

ἐπέζησεν σλ', ὁμοῦ τ'.
Νάχωρ οθ', ὁμοῦ ͵γσξβ'. R 112
ἐπέζησεν ρκθ', ὁμοῦ ση'.
Θάρα ο', ὁμοῦ ͵γτλβ'.
ἐπέζησεν σε', ὁμοῦ σοε'.

Ἑλληνισμὸς ἀπὸ τῶν χρόνων Σεροὺχ ἐναρξάμενος [διά τοι] τῆς εἰδωλολατρείας, καὶ ὡς ἐστοίχουν τὸ τηνικαῦτα ἕκαστος κατά τινα δεισιδαιμονίαν ἐπὶ τὸ μᾶλλον πολιτικώτερον ἐπὶ ἔθη καὶ ἐπὶ θεσμοὺς εἰδώλων τάττεσθαι τὰ τῶν ἀνθρώπων γένη. οἷς τότε στοιχήσαντες ἐποίουν διὰ χρωμάτων διαγράφοντες τὴν ἀρχὴν καὶ ἀπεικάζοντες τοὺς πάλαι παρ' αὐτοῖς τετιμημένους ἢ τυράννους C ἢ ἡγεμόνας ἢ τινάς τι δράσαντας ἐν βίῳ μνήμης δοκοῦν ἄξιον διὰ ἀλκῆς τε ἢ σώματος εὐρωστίας. ἔπειτα δὲ ἀπὸ τῶν χρόνων τοῦ Θάρα πατρὸς Ἀβραὰμ καὶ δι' ἀγαλμάτων τὴν πλάνην τῆς εἰδωλολατρείας κτισάμενοι, τοὺς ἑαυτῶν προπάτορας δι' ἀπεικονισμάτων τετιμηκότες καὶ τοὺς πρὸ αὐτῶν προτετελευτηκό- V 40 τας τεχνασάμενοι ἐκ κεραμικῆς ἐπιστήμης τὸ πρῶτον, ἔπειτα ἑκάστης τέχνης μιμησαμένης, οἰκοδόμοι μὲν λίθον λίθῳ ξέσαντες, ἀργυροκόποι τε καὶ χρυσοχόοι διὰ τῆς ἰδίας ὕλης τεχνασάμενοι ἐπετέλεσαν, χαλκοπλάσται δὲ καὶ ἐπιξῦσται τέχναις χρησάμενοι ἐποικιλλεύσαντο καὶ τέκτονες καὶ οἱ καθεξῆς. D

6. τοῦ Σεροὺχ P. *ibid.* διά τοι om. V. 7. ἐστοιχοῦντο τηνικαῦτα PV. Correxi ex Epiphanio loco mox indicando. 8. πολιτικώτερον ἐπὶ τὸ μᾶλλον V. 16. ἀπεικονισμῶν P. 17. τεχνισάμενοι P. 21. ἐπεποικηλεύσαντο V.

Supervixit 230. coll. an. 300.
Nachor, 79. coll. an. 3262.
Supervixit 129. coll. an. 208.
Thara, 70. coll. an. 3332.
Supervixit 205. coll. an. 275.

Graecismus tempestate Seruch coepit per idololatriam, cum sua quisque superstitione quadam ductus, genus humanum ad politicam potissimum vivendi rationem, et usum seu consuetudines, cultumque idolorum informaret: quos tum secuti, magistratus et tyrannos, aut duces, aut si quid aevo memoriave dignum factitasse viderentur quod vel pugnam, vel corporis robur commendaret, pictura effigiabant. Postea vero temporibus Thara, qui Abraham habuit filium, etiam per statuas et simulacra errorem idololatriae propagarunt, dum majores suos per effigies coluerunt, fatoque functos primum per figlinam expresserunt, mox caeteri artifices secuti primos, architecti quidem lapidem caedebant, argentarii vero et auri caelatores pro sua quisque materia simulacra fabricati sunt, aerarii, et scalptores etiam pro suo ingenio artificii opus variabant: postremo fabri et alii deinceps opifices.

Αἰγύπτιοι μὲν οὖν καὶ Βαβυλώνιοι καὶ Φρύγες καὶ Φοίνικες ταυτησὶ τῆς θρησκείας πρῶτοι εἰσηγηταὶ γεγονότες ἀγαλματοποιίας τε καὶ μυστηρίων τελετάς, ἀφ' ὧν τὰ πλεῖστα εἰς Ἕλληνας μετηνέχθησαν ἀπὸ τῆς Κέκροπος ἡλικίας, καὶ μετέπειτα καθεξῆς ὕστερον πολλοὶ τοὺς περὶ Κρόνον καὶ Ῥέαν Δία τε καὶ Ἀπόλλωνα καὶ τοὺς ἐφεξῆς δυνάστας γενομένους θεοὺς ἀναγορεύσαντες.

Ἕλληνες κέκληνται ἀπὸ Ἕλληνός τινος ἀνδρὸς τῶν ἐν τῇ Ἑλλάδι κατῳκηκότων· ὡς δὲ ἕτεροί φασιν, ἀπὸ τῆς ἐλαίας τῆς ἐν Ἀθήναις βλαστησάσης.

P 49 *Ἴωνες δὲ τούτων ἀρχηγοὶ γεγένηνται, ὡς ὁ ἀκριβὴς ἔχει λόγος, ἀπὸ τοῦ Ἰωϋάν, ἑνὸς ἀνδρὸς τῶν τὸν πύργον οἰκοδομησάντων,*
R 114 *ὅτε αἱ γλῶσσαι διεμερίσθησαν τῶν ἀνθρώπων· δι' ἣν αἰτίαν καὶ μέροπες πάντες κέκληνται διὰ τὴν μεμερισμένην φωνήν.*

1. οἱ *Βαβυλώνιοι* V. 3. *μάλιστα* PV, *τὰ πλεῖστα* Epiphanius. 6. *δικαστὰς* P. 12. *Ἰωνὰν* PV. 14. In ima pagina ascribit V quod in textu ponit P *Σχόλιον* *). *Σκυθισμὸς ἀπὸ τῶν ἡμερῶν τοῦ Νῶε μετὰ τὸν κατακλυσμὸν ἄχρι τῆς τοῦ πύργου οἰκοδομῆς καὶ Βαβυλῶνος, καὶ μετὰ τὸν χρόνον τῆς τοῦ πύργου οἰκοδομῆς ἐπ' ὀλίγοις ἔτεσιν, τουτέστιν ἕως Ῥαγαῦ. οἵτινες ἐπὶ τὸ τῆς Εὐρώπης νενευκότες τῷ τῆς Σκυθίας μέρει καὶ τοῖς ἑαυτῶν ἔθεσιν*
B *προσεκρίθησαν* **) *ἕως τῆς* ***) *τοῦ Ῥαγαῦ ἡλικίας καὶ ἐπέκεινα, ἐξ οὗπερ οἱ Θρᾷκες γεγόνασιν. ὕστερον δὲ ὁ ἑλληνισμὸς εἰς αἱρέσεις κατέστη κατωτέρω τῶν χρόνων, φημὶ Πυθαγορικῶν καὶ Στωικῶν καὶ Πλατω-*

) *προσεκρίθησαν* Epiphanius Resp. ad Epist. Acacii ed. Petav. fol. 5. verso C, *προσεκρίθησαν* PV. *) *τῆς* om. P.

Aegyptii porro et Babylonii, Phrygesque, et Phoenices primi auctores hujus cultus extitere, primique simulacrorum et mysteriorum hujusmodi initiatores; a quibus, Cecropis aetate in Graeciam immigrarunt. Posteris dein saeculis complures Saturnum, Rheam, Jovem, Apollinem, caeterosque principes, Deos renuntiarunt.

Graeci nomen tulerunt ab Hellene viro quodam, ex iis qui olim Hellada incoluerunt: ut alii vero prodidere, ab *ἐλαία*, seu olea, quae Athenis nata est.

Jones autem horum Duces, quemadmodum constans habet fama, orti sunt ab Jonan quodam ex iis, qui turrim aedificarunt, quando hominum linguae sunt divisae: unde omnes a divisa lingua Meropes sunt cognominati.

---

*) *Scholium.*

A diebus Noe post diluvium usque ad Turris et Babylonis aedificationem Scythismus perstitit, annisque aliquot post tempus aedificationis turris, hoc est usque ad Rhagau. Qui porro versus Europae fines vergunt, in Scythiae partibus degunt, suis ipsi moribus vivere elegerunt usque ad tempora Rhagau, ut et qui ulterius habitant, donec Thracum regio occurrat.

Graecismus postmodum, seu gentilismus posteris temporibus confla-

Ἀβραὰμ οε', ὁμοῦ ,γυζ'.

Ἀβραὰμ Χαλδαῖος ὢν τὸ γένος τὴν πρώτην ἡλικίαν παρὰ Χαλδαίοις ποιεῖται.

α', β', γ', δ', ε', ϛ', ζ', η', θ', ι', ια', ιβ', ιγ', ιδ', ιε', ιϛ', ιζ', ιη', ιθ', κ', κα', κβ', κγ', κδ', κε', κϛ', κζ', κη', κθ', λ', λα', λβ', λγ', λδ', λε', λϛ', λζ', λη', λθ', μ', μα', μβ', μγ', μδ', με', μϛ', μζ', μη', μθ', ν', να', νβ', νγ', νδ', νε', νϛ', νζ', νη', νθ'.

Νάχωρ προπάτωρ Ἀβραὰμ τελευτᾷ ζήσας ἔτη ση'. D

ξ', ξα', ξβ', ξγ', ξδ', ξε', ξϛ', ξζ', ξη', ξθ', ο', οα', οβ', ογ'.

νικῶν καὶ Ἐπικουρείων καὶ τῶν λοιπῶν. θεοσεβείας δὲ χαρακτὴρ αὐτοῖς ὑπῆρξεν ἅμα καὶ ὁ κατὰ φύσιν νόμος πολιτευόμενος ἀπὸ τούτων τῶν ἐθνῶν ἀφορίζων ἑαυτὸν*) ἀπὸ τῆς τοῦ κόσμου καταβολῆς καὶ μέχρι τοῦ δεῦρο. τῶν ἐθνῶν μέσος τυγχάνων βαρβαρισμὸς καὶ σκυθισμὸς καὶ ἑλληνισμὸς ἕως οὗ συνήφθη ἡ τοῦ Ἀβραὰμ θεοσέβεια καὶ ὁ κατὰ φύσιν νόμος καὶ ἰουδαϊσμὸς**) μετέπειτα. C 2. ὢν om. P sola: habent V et R, in m. notans: *abest in C.* 9. ση'] σο' R. 10. ξ' — ογ' ante Περὶ Μελχισεδὲκ ponunt PV, ante Νάχωρ R. 11. Post ογ' addit P sola οδ', οε', ὁμοῦ ,γυζ'.

*) τούτων τῶν ἐθνῶν — ἑαυτὸν] τούτων — ἑαυτοὺς V. **) καὶ om. P. ἰουδαϊσμὸς ex Epiphanio addidit Raderus, om. V.

Abraham, 75. coll. an. 3407.

Abraham gente Chaldaeus, primam aetatem apud Chaldaeos terit.

I. II. III. IV. V. VI. VII. VIII. IX. X. XI. XII. XIII. XIV. XV. XVI. XVII. XVIII. XIX. XX. XXI. XXII. XXIII. XXIV. XXV. XXVI. XXVII. XXVIII. XXIX. XXX. XXXI. XXXII. XXXIII. XXXIV. XXXV. XXXVI. XXXVII. XXXVIII. XXXIX. XL. XLI. XLII. XLIII. XLIV. XLV. XLVI. XLVII. XLVIII. XLIX. L. LI. LII. LIII. LIV. LV. LVI. LVII. LVIII. LIX.

Nachor avus Abraham moritur, cum vixisset CCVIII.

LX. LXI. LXII. LXIII. LXIV. LXV. LXVI. LXVII. LXVIII. LXIX. LXX. LXXI. LXXII. LXXIII. LXXIV. LXXV. Colliguntur anni III. MCDVII.

---

tus est, in sectas divisus, Pythagoreorum scilicet, Stoicorum, Platonicorum, Epicureorum, et aliorum.

Cultus porro divini character una cum lege naturae ab hisce nationibus observabatur, cum ille se a mundi conditione servasset incolumem in hanc usque diem.

Gentilitatis medium tenuere Barbarismus, Scythismus, et Hellenismus, donec cultus divinus ab Abraham institutus, ac postmodum Judaismus una cum lege naturae coaluit.

R 116
V 41

Περὶ Μελχισεδέκ.

οδ'.

Διηγήσατό τις γέρων περὶ τοῦ Μελχισεδὲκ διαβεβαιούμενος
P 50 καὶ λέγων ὅτι Ἄνθρωπός ἐστιν ἐκ τῆς φυλῆς τοῦ Χάμ. εὑρεθεὶς δὲ ἐν τῇ φυλῇ αὐτοῦ ἅγιον γέννημα εὐηρέστησεν τῷ θεῷ, καὶ μετέθηκεν αὐτὸν ὁ θεὸς ἐκ τῆς ἰδίας αὐτοῦ γῆς εἰς τὸ πέραν τοῦ Ἰορδάνου, καθ' ὃν τρόπον μετέθηκε τὸν Ἀβραὰμ ἐκ τῆς χώρας τῶν Χαλδαίων. ὢν δὲ ἅγιος ἐκεῖνος ὁ ἄνθρωπος καὶ δίκαιος, ἐγένετο ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου, ἄρτον καὶ οἶνον καὶ λιτὰς ἁγίας προσφέρων τῷ θεῷ τῷ ὑψίστῳ. ἐδεήθη δὲ περὶ τῆς φυλῆς αὐτοῦ λέγων, Κύριε, μετέθηκάς με ἐκ τῆς φυλῆς μου καὶ ἠλέησάς με· ἐλέησον καὶ αὐτούς. εἶπε δὲ αὐτῷ ὁ κύριος, Ἐγὼ αὐτοὺς σώσω, ὅταν ἐξ Αἰγύπτου καλέσω τὸν υἱόν μου. ταύτην τὴν ἐπαγγελίαν ἔδωκεν ὁ θεὸς τῷ Μελχισεδέκ. ἐμνημόνευσεν οὖν ὁ γέρων ἐκεῖ-
B νος, λέγων ὅτι κατὰ τοὺς καιροὺς τούτους συνέβη τὸν Λὼτ αἰχμαλωτισθῆναι ἐκ γῆς Σοδόμων ἐκ τῶν περὶ τῶν Γοθωλλογομώρ, καὶ ἐπιδιῶξαι τὸν Ἀβραὰμ ὀπίσω αὐτῶν, καὶ ἥττησεν αὐτοὺς καὶ ἀπέστρεψεν ἀπ' αὐτῶν πᾶσαν τὴν αἰχμαλωσίαν καὶ τὸν Λὼτ τὸν υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ Ἀράν.

Ἔλεγεν οὖν ἐν ἑαυτῷ ὁ Ἀβραάμ, Κύριε, εἰ ἐν τῷ χρόνῳ τῶν ἡμερῶν μου ἀποστελεῖς τὸν ἄγγελόν σου ἐπὶ τῆς γῆς, ἆρα βλέπω τὴν ἡμέραν ἐκείνην; εἶπεν δὲ αὐτῷ ὁ θεός, Οὐχί, ἀλλὰ δεικνύω σοι τὸν τύπον τῆς ἡμέρας ἐκείνης· κάτελθε καὶ πέρασον τὸν Ἰορδάνην ποταμόν, καὶ ὄψει τὸν τύπον τῆς ἡμέρας ἐκείνης.

1. νδ' (οδ' R) τοῦ Ἀβραάμ margo P. 2. οδ' om. P. 5. μετέθηκεν post Χαλδαίων ponit P. 9. τοῦ alterum om. P. 10. τῷ alterum om. P. 23. τύπον m. R, τόπον PV.

De Melchisedec.

Senex quidam haec de Melchisedec narrabat, affirmabatque, hisce verbis: Vir est ex tribu Cham, qui sanctus in sua tribu inventus foetus, placuit Deo; illumque transtulit Deus ex terra sua trans Jordanem, quemadmodum Abraham ex regione Chaldaeorum transtulit. Cum autem vir ille sanctus esset ac justus, factus est Pontifex Dei altissimi, panem et vinum, sanctasque orationes offerens Deo altissimo. Precatus est pro sua tribu, dicens: *Domine, transtulisti me ex tribu mea, et misertus es mei, miserere etiam eorum.* Dixit vero illi Dominus: *Ego illos salvabo, cum ex Aegypto vocavero filium meum.* Hanc promissionem dedit Deus Melchisedec. Memorabat praeterea senex ille, dicens: Contigit hisce temporibus ut Lot ex Sodomorum terra captivus abduceretur ab iis qui ex Gothologomor tribu erant: quos insecutus Abraham delevit, universis captivis, ipsoque Lot filio fratris sui Aram ex eorum manibus ereptis.

Dixit porro Abraham intra se: *Domine, si tempore dierum meorum miseris Angelum tuum in terram, fac ut videam hunc diem.* Dixit illi

*Ἐπέρασεν δὲ Ἀβραὰμ τὸν Ἰορδάνην ποταμὸν μετὰ τῆς δυ-
νάμεως αὐτοῦ· καὶ ἐξῆλθεν Μελχισεδὲκ εἰς ἀπάντησιν αὐτοῦ ὑπὸ* C
*τοῦ ἁγίου πνεύματος φερόμενος, ἔχων ἐν χερσὶν αὐτοῦ ἄρτον εὐ-
χαριστίας καὶ ποτήριον εὐλογίας. οὐκ εἶδεν δὲ Ἀβραὰμ τὸν Μελ-
χισεδέκ, εἰ μὴ πρῶτον διέβη τὸν Ἰορδάνην, τουτέστιν σημεῖον
τοῦ βαπτίσματος. ἰδὼν δὲ Ἀβραὰμ τὸν Μελχισεδὲκ ἐρχόμενον
εἰς ἀπάντησιν αὐτῷ ἔχοντα τὸν ἄρτον τῆς εὐχαριστίας καὶ τὸ πο-
τήριον τῆς εὐλογίας, πεσὼν Ἀβραὰμ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν
γῆν προσεκύνησεν, ὅτι εἶδεν τὴν ἡμέραν κυρίου, καὶ ἐχάρη. ἀπαν-
τήσας δὲ αὐτῷ Μελχισεδὲκ ὁ βασιλεὺς Ἱερουσαλήμ, ἱερεὺς ὢν τοῦ* R 118
*θεοῦ τοῦ ὑψίστου, ηὐλόγησε τὸν Ἀβραὰμ καὶ εἶπεν, Εὐλογητὸς
Ἀβραὰμ τῷ θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν,
καὶ εὐλογητὸς ὁ θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου* D
ὑποχειρίους σου. καὶ ἔδωκεν αὐτῷ Ἀβραὰμ δεκάτην ἀπὸ πάντων.

Ἔστιν οὖν ὁ Μελχισεδὲκ ἄνθρωπος ἐκ τῆς φυλῆς τοῦ Χάμ, μετατεθεὶς ἐκ τῆς φυλῆς αὐτοῦ ἐκ τῆς χώρας τῶν Χαναναίων εἰς τὸ πέραν τοῦ Ἰορδάνου εἰς Σαλὴμ πόλιν, οὗ καὶ τὴν κώμην ἐθεασάμην.

*Ἐγένετο δὲ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου κατὰ τὴν γραφὴν
ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος. μετετέθη δὲ εἰς Σαλὴμ κώ-
μην, ἥτις ἑρμηνεύεται εἰρήνη. περὶ οὗ μέμνηται ὁ ἀπόστολος
Παῦλος Ἑβραίοις ἐπιστέλλων, „ὤμοσεν κύριος, καὶ οὐ μεταμελη-* P 51

7. αὐτοῦ P sola. ib. τὸν om. P. 8. τῆς om. P. 10. Ἰλήμ R, Σαλήμ P. 11. τοῦ om. P. 17. ἐθεασάμην V. 22. Ἑβραίοις ἐπιστέλλων] VII.

Deus: *Minime, sed ostendo tibi figuram diei istius: descende, et transi Jordanem fluvium, et videbis figuram diei illius.*

Trajecit ergo Abraham Jordanem fluvium cum suis, et egressus est Melchisedec in occursum illius, a Spiritu sancto adductus, habens in manibus suis panem gratiarum actionis, et calicem benedictionis. Non vidit Abraham Melchisedec nisi postquam transivit Jordanem, id est symbolum baptismatis. Videns vero Abraham Melchisedec venientem in occursum sui, habentem panem gratiarum actionis, et calicem benedictionis, Abraham in faciem humi procumbens, adoravit, quoniam vidit diem Domini, et laetatus est. Huic autem occurrens Melchisedec Rex Salem, Pontifex Dei altissimi, benedixit Abraham, et dixit: *Benedictus Abraham Deo altissimo, qui condidit coelum et terram: benedictus Deus altissimus qui tradidit inimicos tuos in manus tuas, ac tibi subdidit.* Et dedit illi Abraham decimam ex omnibus.

Est ergo Melchisedec homo ex tribu Cham, translatus ex sua tribu; ex regione Chananaeorum, in terram ultra Jordanem, in urbem Salem, cujus etiam vicum spectavimus.

Fuit et sacerdos Dei altissimi, juxta Scripturam, sine matre, sine patre, sine genealogia. Translatus est in Salem vicum, qui interpretatus Pacem sonat. Cujus meminit Apostolus Paulus ad Hebraeos scribens:

θήσεται· σὺ εἶς ἱερεὺς [εἰς τὸν αἰῶνα] κατὰ τὴν τάξιν Μελχισεδέκ·" περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ ἀληθῆ ἐλέχθη ὑπὸ τοῦ γέροντος.

Ἐπίγραμμα.

V 42 *Οὗτός ἐστιν ὁ Μελχισεδὲκ ὁ πηλίκος ὁ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου, ὁ τοὺς κατὰ νόμον Μωϋσέως ἱερεῖς ἀποδεκατῶν. οὗτός ἐστιν ὁ βασιλεὺς τῆς εἰρήνης καὶ τῆς δικαιοσύνης ἅμα καὶ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου, ὁ ἀφωμοιωμένος τῷ υἱῷ τοῦ θεοῦ, ὁ τὴν ἱερωσύνην μήτε ἐκ διαδοχῆς ἑτέρων ἱερέων παραλαβὼν*
B *μήτε ἑτέροις ἱερεῦσι παραπέμψας. οὗτός ἐστιν ὁ μὴ κατὰ νόμον Μωϋσέως τὰς λατρείας ἐπιτελῶν, ἀλλ' ἑτέροις κρείττοσι συμβόλοις ἱερουργῶν. οὗτός ἐστιν ὁ τὸν πατριάρχην Ἀβραὰμ εὐλογήσας, ὁ ἀπάτωρ καὶ ἀμήτωρ καὶ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, ὁ μόνος ἱερεὺς καὶ βασιλεὺς ὁ ἀφωμοιωμένος τῷ υἱῷ τοῦ θεοῦ καὶ αὐτὸς ἀξιωθεὶς τοσούτων ἀγαθῶν μηνυτής.*

οε'.

Τούτῳ τῷ ἔτει τοῦ Ἀβραὰμ Θάρα ὁ πατὴρ αὐτοῦ ἀπέθανεν ζήσας ἔτη σμε'. ἐν τῷ αὐτῷ χρόνῳ εἶπε κύριος πρὸς Ἀβραάμ, Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ ἐκ τοῦ οἴκου
C *τοῦ πατρός σου, καὶ δεῦρο εἰς τὴν γῆν ἣν ἄν σοι δείξω, καὶ*

1. *εἷς* om. P. *ibid. εἰς τὸν αἰῶνα* om. V. 8. *τοῦ* alterum om. P. *ib. ὁ* om. P. 17. *Ἀβρὰμ* V. 18. *σμε'*] *ρμε'* V. *ibid. εἶπε*] Genes. XII. 1.

Anni a m. c. *Juravit Dominus, et non poenitebit eum, tu es Sacerdos in aeternum secundum ordinem Melchisedec:* de quo multa a nobis hactenus dicta, veraque sunt quae a sene illo sunt enarrata.

Inscriptio.

Hic est magnus ille Melchisedec, Sacerdos Dei altissimi, qui a Sacerdotibus secundum legem Moysis, decimas accepit. Hic est Rex pacis et justitiae, simul et Pontifex Dei altissimi, similis factus filio Dei, qui Sacerdotium neque ex aliorum Sacerdotum successione accepit, neque ad alios Sacerdotes transmisit. Hic est qui non secundum legem Moysis sacrificia peregit, sed aliis melioribus symbolis sacrificavit. Hic est qui Patriarcham Abraham benedixit, sine patre, sine matre, et sine genealogia: solus Pontifex et Rex, similis factus filio Dei, et ipse dignatus esse tantorum bonorum nuntius.

3407. LXXV.

Hoc anno Abraham, Thara illius pater mortuus est, cum vixisset annos CCXLV. Eodem anno, dixit Dominus ad Abraham: *Egredere de terra tua, et de cognatione tua, et de domo patris tui, et veni in terram,*

ποιήσω σε εἰς ἔθνος μέγα καὶ εὐλογήσω σε καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογημένος, καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς R 120 *σε καὶ τοὺς καταρωμένους σε καταράσομαι, καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. καὶ ἐπορεύθη Ἀβραὰμ καθάπερ ἐλάλησεν αὐτῷ κύριος, καὶ ᾤχετο μετ' αὐτοῦ Λώτ. Ἀβραὰμ δὲ ἦν ἐτῶν πέντε καὶ ἑβδομήκοντα, ὅτε θείου χρησμοῦ καταξιοῦται καὶ τῆς πρὸς αὐτὸν γενομένης ἐπαγγελίας. καὶ ἐξῆλθεν ἐκ Χαῤῥὰν εἰς γῆν Χαναάν· διέτριψεν δὲ Ἀβραὰμ εἰς γῆν Χαναὰν ἕτερα ἔτη κε'.*

Τούτῳ τῷ ἑβδομηκοστῷ πέμπτῳ ἔτει τοῦ Ἀβραὰμ περὶ ἡλίου δυσμὰς ἔκστασις ἐπέπεσεν ἐπ' αὐτόν· καὶ ἰδοὺ φόβος σκοτεινὸς μέγας ἐπιπίπτει αὐτῷ, καὶ ἐῤῥέθη πρὸς Ἀβραάμ, Γινώ- D *σκων γνώσῃ ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ· καὶ δουλώσουσιν αὐτοὺς καὶ κακώσουσιν αὐτοὺς τετρακόσια καὶ τριάκοντα ἔτη· τὸ δὲ ἔθνος ᾧ δουλεύσωσι κρινῶ ἐγώ. μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς, σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου, τραφεὶς μετ' εἰρήνης ἐν γήρει καλῷ· τετάρτῃ δὲ γενεᾷ ἀποστραφήσονται ὧδε.*

Καὶ Μωϋσῆς δὲ ἐν Ἐξόδῳ συνᾴδει λέγων, ,,ἡ δὲ κατοίκησις

2. *εὐλογημένος* margo V, *εὐλογητός* V. 4. *Ἀβρὸμ* P. 6. *Ἀβρὰμ* PV. *ibid.* *ἑβδομήκοντα πέντε* P. 7. *γενομένης* om. P. 8. *Καρὰν* P, *Χαρὰν* R. *ibid.* *διέτριψεν — Χαναὰν* om. P. 10. *ἔτει* ante *ἑβδομηκοστῷ* ponit P. *ibid.* *περὶ ἡλίου*] Genes. XV. 12. 14. *καὶ τριάκοντα*] *τριάκοντα* R, utrumque om. P. *ibid.* *τὸ δὲ*] *καὶ τὸ* P. 16. *σκευῆς* R. 17. *ταφεὶς* P. 18. Post *ὧδε* addit P sola *διέτριψεν δὲ Ἀβραὰμ εἰς Χαναὰν ἕτερα ἔτη κε':* tum ponit illa p. seq. v. 3. *Ἀβραὰμ — 11. ἀκυροῖ.* 19. *Ἐξόδῳ*] XII. 40.

quam tibi monstrabo: et faciam te in gentem magnam, et benedicam te, et magnificabo nomen tuum, et eris benedictus. Et benedicam benedicentes te, et maledicentes te maledicam, et benedicentur in te omnes tribus terrae. Et abiit Abraham sicut locutus est ei Dominus, et ivit cum eo Lot. Abraham autem erat annorum LXXV. quando coeleste accepit oraculum, divinamque hanc repromissionem. Et egressus est ex Charan, venitque in Chanaan, ubi XXV.. annos alios (traduxit).

Hoc anno LXXV. Abraham, cum sol occumberet, sopor irruit super illum, et horror magnus et tenebrosus invasit eum: dictumque est ad Abraham, *Scito praenoscens quod peregrinum futurum sit semen tuum in terra non sua, et subjicient eos servituti, et affligent quadringentis annis. Verumtamen gentem cui servituri sunt ego judicabo, et post haec egredientur cum magna substantia. Tu autem ibis ad patres tuos in pace, sepultus in senectute bona: quarta autem generatione revertentur huc.*

Moyses vero in Exodo his convenit, dum ait: *Habitatio autem fi-*

τῶν υἱῶν Ἰσραήλ, ἣν κατῴκησαν ἐν Αἰγύπτῳ καὶ ἐν γῇ Χαναὰν αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν ἔτη υλ'."

Ἀβραὰμ ἕτερα ἔτη κε', ὁμοῦ ͵γυλβ'.
ἐπέζησεν οε', ὁμοῦ ροε'.

οϛ'.

P 52 Πρῶτον ἔτος τῆς τοῦ θεοῦ πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίας. ἀπὸ οϛ' ἔτους καὶ αὐτοῦ Ἀβραὰμ ἐπὶ Μωϋσέα, ἤγουν πα' ἔτος τῆς ἐκείνου ἡλικίας καὶ τὴν ἐξ Αἰγύπτου πορείαν τοῦ Ἑβραίων ἔθνους, ἔτη τυγχάνει υλ'. ὧν μέμνηται Παῦλος Γαλάταις ἐπιστέλλων, „διαθήκην προκεκηρυγμένην ὑπὸ τοῦ θεοῦ εἰς Χριστὸν ὁ μετὰ ἔτη υλ' γεγονὼς νόμος οὐκ ἀκυροῖ.

B οζ', οη', οθ', π', πα', πβ', πγ', πδ', πε'.

Τούτῳ αὐτοῦ τῷ ἔτει Ἀβραάμ, λιμοῦ μεγίστου γενομένου ἐν τῇ χώρᾳ τῶν Χαναναίων, κάτεισιν εἰς Αἴγυπτον.

Δέκατον ἔτος τῆς ἀπὸ τοῦ θεοῦ πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίας.

R 122 πϛ'.

Τούτῳ τῷ ἔτει τοῦ Ἀβραὰμ ἔτεκεν αὐτῷ Ἀγὰρ ἡ παιδίσκη τὸν Ἰσμαήλ, ἀφ' οὗ τὸ τῶν Ἰσμαηλιτῶν γένος. οἱ δ' αὐτοί εἰσιν Ἀγαρηνοὶ οἱ καὶ Σαρακηνοὶ καλούμενοι.

V 43 πζ', πη', πθ', ϟ', ϟα', ϟβ', ϟγ', ϟδ', ϟε', κ' ἔτος τῆς ἐπαγγελίας, ϟϛ', ϟζ', ϟη', ϟθ'.

5. οϛ' om. P. 7. Ἀβραὰμ V. 9. Γαλάταις ἐπιστέλλων] III. 17. 13. τῷ om. R. 20. εἰσὶν] εἶεν V, m. R. 21. κ' — ἐπαγγελίας om. P.

Anni a m. c. *liorum Israel qui manserunt in Aegypto et in terra Chanaam, ipsi et patres eorum, anni quadringenti et triginta.*

Abraham an. 25. Colliguntur anni 3482.
Supervixit 75. coll. an. 175.

Primus hic annus Repromissionis Dei factae Abraham, ab anno LXXVI. ad annum aetatis ipsius LXXXI. et usque ad profectionem Hebraeorum ex Aegypto, sunt anni CDXXX. quorum meminit Paulus ad Galatas scribens: *Testamentum autem praedicatum a Deo de Christo, lex quae post CDXXX. annos facta est, non irritum facit ad evacuandam promissionem.*

LXXVII. LXXVIII. LXXIX. LXXX. LXXXI. LXXXII. LXXXIII. LXXXIV. LXXXV.

Hoc anno Abraham, cum apud Chananaeos ingens fames grassaretur, descendit in Aegyptum.

Decimus annus Repromissionis a Deo factae Abraham.

3418. LXXXVI.

Hoc anno Abraham, peperit ex Agar ancilla Ismael, a quo Ismaelitarum gens est orta. Ii vero sunt Agareni, qui et Saraceni appellantur.

LXXXVII. LXXXVIII. LXXXIX. XC. XCI. XCII. XCIII. XCIV. XCV. XCVI. XCVII. XCVIII. XCIX.

Τούτῳ τῷ ἔτει Ἀβραὰμ ὤφθη αὐτῷ ὁ θεὸς λόγος πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καὶ δύο ἄγγελοι σὺν αὐτῷ οἱ καὶ ὑποδεχθέντες ἐν τῇ σκηνῇ. καὶ εἶπεν αὐτῷ, Ἐγώ εἰμι ὁ θεός σου· εὐαρέστει ἐνώπιόν μου καὶ γίνου ἄμεμπτος, καὶ θήσομαι τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ καὶ πληθυνῶ σε σφόδρα. καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον αὐτοῦ. καὶ ἐλάλησεν αὐτῷ ὁ θεὸς λέγων, Ἐγὼ ἰδοὺ ἡ διαθήκη μου μετὰ σοῦ. καὶ ἔσῃ πατὴρ πλήθους ἐθνῶν, καὶ οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἀβράμ, ἀλλ' ἔσται τὸ ὄνομά σου Ἀβραάμ, ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε, καὶ αὐξανῶ σε σφόδρα, καὶ θήσω τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν. καὶ μεθ' ἕτερα, καὶ εἶπεν ὁ θεὸς πρὸς Ἀβραάμ, Σάρα ἡ γυνή σου, οὐ κληθήσεται τὸ ὄνομα αὐτῆς Σάρα, ἀλλὰ Σάῤῥα ἔσται τὸ ὄνομα αὐτῆς. καὶ εὐλογήσω αὐτήν, καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον, καὶ ἔσται σοι εἰς ἔθνη καὶ βασιλεῖς ἐθνῶν ἐξ αὐτοῦ ἐξελεύσονται. καὶ ἔπεσεν ἐπὶ πρόσωπον καὶ ἐγέλασεν ἐν τῇ διανοίᾳ αὐτοῦ λέγων, Εἰ τῷ ἑκατονταετεῖ γεννήσεται υἱός, καὶ εἰ ἡ Σάῤῥα ἐνενήκοντα ἐτῶν οὖσα τέξεται; εἶπε δὲ Ἀβραὰμ πρὸς θεόν, Ἰσμαὴλ οὗτος ζήτω ἐναντίον σου. εἶπε δὲ ὁ θεὸς τῷ Ἀβραάμ, Ἰδοὺ Σάῤῥα ἡ γυνή σου τέξε-

C (l. 1) D (l. 13)

1. Genes. XII. 1. 4. θήσω P. 10. τέθηκά P. 11. ἐμοῦ] μου P. θήσω σε εἰς ἔθνη· καὶ βασιλεῖς ἐκ σοῦ ἐξελεύσονται. καὶ στήσω τὴν διαθήκην μου ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τοῦ σπ. Genesis. 16. καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον αὐτοῦ καὶ ἐγέλασεν καὶ εἶπεν ἐν τῇ διανοίᾳ λέγων P. 18. υἱὸς et ἡ om. V. ibid. ἐννενήκοντα P. ib. οὖσα om. P. 19. ἐνώπιόν P. 20. τῷ] πρὸς P.

Hoc Abraham anno, Deus Verbum illi apparuit ad quercum in valle Mambre, et Angeli duo cum illo, qui in tabernaculum ab eo recepti sunt. Et dixit illi: *Ego sum Deus tuus: complace coram me, et esto irreprehensibilis, et ponam foedus meum inter me et inter te, et multiplicabo te valde.* Et cecidit Abraham pronus in faciem, et locutus est ei Deus, dicens: *Et ecce foedus meum tecum, et eris pater multitudinis gentium; et non vocabitur ultra nomen tuum Abram, sed erit nomen tuum Abraham, quia patrem multarum gentium constitui te, et faciam te crescere vehementissime. Et statuam pactum meum inter me, et inter semen tuum post te in generationes suas.* Et post alia:

Et dixit Deus Abraham: *Sara uxor tua, non vocabitur nomen ejus ultra Sara, sed Sarra erit nomen ejus. Benedicam autem ei, et dabo tibi ex ea filium, et benedicam ei, et erit in gentes, et Reges gentium ex illo erunt.* Et cecidit Abraham in faciem suam, et risit, et ait in mente, dicens: *An centenario nascetur filius? et an Sarra nonaginta annorum pariet?* Dixit autem Abraham ad Deum: *Ismael hic vivat coram te:* Dixit autem Deus ad Abraham: *Ecce Sarra uxor tua pariet tibi fi-*

P 53 ται υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ, καὶ στήσω τὴν διαθήκην μου πρὸς αὐτὸν εἰς διαθήκην αἰώνιον, εἶναι αὐτῷ θεὸς καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν. περὶ δὲ Ἰσμαὴλ ἰδοὺ ἐπήκουσά σου· ἰδοὺ ηὐλόγησα αὐτὸν καὶ αὐξανῶ αὐτὸν καὶ πληθυνῶ αὐτὸν σφόδρα· δώδεκα ἔθνη γεννήσει, καὶ δώσω αὐτὸν εἰς ἔθνος μέγα. τὴν δὲ διαθήκην μου στήσω πρὸς Ἰσαάκ, ὃν τέξεταί σοι Σάῤῥα εἰς τὸν καιρὸν τοῦτον ἐν τῷ ἐνιαυτῷ τῷ ἑτέρῳ.

R 124 Ὅτι ϟθ' ἐτῶν Ἀβραὰμ περιετμήθη καὶ Ἰσμαὴλ ἐτῶν ιδ'.

Τούτῳ τῷ ϟθ' ἔτει τῆς αὐτοῦ ἡλικίας Ἀβραὰμ περιετμήθη
B τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ καὶ Ἰσμαὴλ ὢν ἐτῶν ιδ' καὶ πάντες οἱ οἰκογενεῖς αὐτοῦ καὶ πάντες οἱ ἀργυρώνητοι καὶ πᾶν ἄρσεν τῶν ἀνδρῶν τῶν ἐν τῷ οἴκῳ Ἀβραάμ. μετὰ ταῦτα ὤφθη αὐτῷ ὁ θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας. ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς εἶδεν, καὶ ἰδοὺ τρεῖς ἄγγελοι εἱστήκεισαν ἐπάνω αὐτοῦ, καὶ ἰδὼν προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ εἶπεν, Κύριε, εἰ ἄρα ηὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν παῖδά σου. ληφθήτω δὴ ὕδωρ καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν, καὶ καταψύξατε ὑπὸ τὸ δένδρον, καὶ λήψομαι ἄρ-

1. σοι υἱὸν P. ibid. θήσω P. 3. τῷ om. P. 4. ἰδοὺ] εἶδε V, h. e. ἴδε. ib. εὐλογήσω P. 10. τούτῳ] ἐν τούτῳ P. ib. αὐτοῦ om. P. 16. ὀφθαλμοῖς αὐτοῦ P. ib. ἐπάνω om. R. 19. εὗρον P.

lium, et vocabis nomen ejus Isaac, et ponam pactum meum ad eum in foedus sempiternum et semini ejus post eum. De Ismael autem ecce exaudivi te: ecce benedicam ei, et augebo eum, et multiplicabo eum valde. Duodecim gentes generabit, et dabo illum in gentem magnam. At pactum meum statuam ad Isaac, quem pariet tibi Sarra in tempore hoc, in anno altero.

Abraham aetatis anno xcix. circumcisus est cum filio suo Ismael quatuordecenni.

Hoc anno xcix. aetatis Abraham circumcisus est carnem praeputii sui, et Ismael quatuordecennis, et omnes viri domus ejus, et emptitii. Post haec apparuit ei Deus ad quercum Mambre, sedente ipso in ostio tabernaculi sui in meridie. Suspiciens autem oculis suis, vidit; et ecce tres Angeli steterunt super eum, et videns cucurrit in occursum eis, de ostio tabernaculi sui: et adoravit super terra, et dixit: *Domine, si utique inveni gratiam coram te, ne transeas servum tuum. Accipiatur aqua, et lavent pedes vestros, et refrigerate sub arbore. Et accipiam panem,*

τον, καὶ φάγεσθε· καὶ μετὰ τοῦτο παρελεύσεσθε εἰς τὴν ὁδὸν
ὑμῶν οὗ εἵνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν. καὶ εἶπαν, C
Οὕτω ποίησον καθὰ εἴρηκας. καὶ ἔσπευσεν Ἀβραὰμ ἐπὶ τὴν σκη-
νὴν πρὸς Σάῤῥαν, καὶ εἶπεν αὐτῇ, Σπεῦσον καὶ φύρασον τρία
μέτρα σεμιδάλεως, καὶ ποίησον ἐγκρυφίας. καὶ εἰς τὰς βόας
ἔδραμεν Ἀβραάμ, καὶ ἔλαβε μοσχάριον ἁπαλὸν καὶ καλόν, καὶ
ἔδωκε τῷ παιδὶ καὶ ἐτάχυνε τοῦ ποιῆσαι αὐτό. ἔλαβε δὲ βούτυ-
ρον καὶ γάλα καὶ τὸ μοσχάριον [ὃ ἐποίησε], καὶ παρέθηκεν αὐ-
τοῖς, καὶ ἔφαγον. αὐτὸς δὲ παρειστήκει αὐτοῖς ὑπὸ τὸ δένδρον. V 44
εἶπε δὲ πρὸς αὐτόν, Ποῦ Σάῤῥα ἡ γυνή σου; ὁ δὲ ἀποκριθεὶς
εἶπεν, Ἰδοὺ ἐν τῇ σκηνῇ. εἶπε δέ, Ἐπαναστρέφων ἥξω πρὸς σὲ
κατὰ τὸν καιρὸν τοῦτον εἰς ὥρας, καὶ τέξεται υἱὸν Σάῤῥα ἡ γυ- D
νή σου. Σάῤῥα δὲ ἤκουσε πρὸς τῇ θύρᾳ τῆς σκηνῆς οὖσα ὄπι-
σθεν αὐτοῦ. Ἀβραὰμ δὲ καὶ Σάῤῥα πρεσβύτεροι προβεβηκότες
ἡμερῶν. ἐξέλιπεν δὲ Σάῤῥα γίνεσθαι τὰ γυναικεῖα. ἐγέλασε δὲ
Σάῤῥα ἐν ἑαυτῇ λέγουσα, Οὔπω μέν μοι γέγονεν ἕως τοῦ νῦν·
ὁ δὲ κύριός μου πρεσβύτερος. καὶ εἶπε κύριος πρὸς Ἀβραάμ,
Τί ὅτι ἐγέλασεν Σάῤῥα ἐν ἑαυτῇ λέγουσα, Ἆρά γε ἀληθῶς τέξο-
μαι; ἐγὼ δὲ γεγήρακα. μὴ ἀδυνατεῖ παρὰ τῷ θεῷ ῥῆμα; εἰς
τὸν καιρὸν τοῦτον ἐπιστρέψω πρὸς σὲ εἰς ὥρας, καὶ ἔσται τῇ

2. ἕνεκα P. 3. κατὰ PV. ibid. ὁ Ἀβραὰμ P. 8. ὃ ἐποίησε om. V. 9. παριστήκει V, παρεστήκει P. 12. τέξεται] ἕξει P. 13. τὴν θύραν P. 14. πρεσβύτεροι om. P. 15. ἦσαν ἡμερῶν P. ibid. ἐξέλειπεν V. 17. Ἀβραὰμ λέγων P. 19. ἀδυνατῇ P. ibid. παρὰ (κυρίῳ) τῷ P. 20. εἰς ὥρας ἀναστρέψω πρός σε P.

et comeditis: et post hoc transibitis in viam vestram; cujus caussa declinastis ad servum vestrum. Et dixit: *Sic fac, sicut dixisti.* Et festinavit Abraham ad Tabernaculum ad Sarram, et dixit ei: *Accelera, et commisce tres mensuras similae, et fac subcineritios.* Et ad boves cucurrit Abraham, et tulit vitulum tenerum, et bonum; et dedit puero, et festinavit facere illum. Accepit autem butyrum et lac, et vitulum quem fecit, et apposuit eis, et comederunt, ipse autem astabat eis sub arbore. Dixit autem ad eum: *Ubi Sarra uxor tua?* Ille autem respondens dixit: *Ecce in Tabernaculo.* Dixit autem: *Revertens veniam ad te secundum tempus hoc in horas; et habebit filium Sarra uxor tua.* Sarra autem audivit ad ostium tabernaculi existens post eum. Abraham autem et Sarra provecti erant diebus. Desierant autem Sarra fieri muliebria. Risit autem Sarra in seipsa, dicens: *Nondum quidem mihi fuit usque nunc: at dominus meus senex.* Ait autem Dominus ad Abraham, dicens: *Quare risit Sarra in seipsa dicens: Num vere pariam? ego consenui. Numquid impossibile erit apud Dominum verbum? in tempus hoc in horas revertar ad te: et*

Σάῤῥᾳ υἱός. ἠρνήσατο δὲ Σάῤῥα, λέγουσα ὅτι Οὐκ ἐγέλασα· ἐφοβήθη γάρ. καὶ εἶπεν, Οὐχί, ἀλλ' ἐγέλασας.

P 54 R 126 Καὶ μετὰ τὸ Σόδομα καὶ Γόμοῤῥα καταστραφῆναι κύριος ἐπεσκέψατο τὴν Σάῤῥαν, καθὰ εἶπεν· καὶ ἐποίησε κύριος τῇ Σάῤῥᾳ καθὰ ἐλάλησεν. καὶ συλλαβοῦσα ἔτεκε Σάῤῥα τῷ Ἀβραὰμ υἱὸν εἰς τὸ γῆρας εἰς τὸν καιρὸν καθὰ ἐλάλησεν αὐτῷ κύριος.

Ὅτι ρ' ἐτῶν ὑπῆρχεν Ἀβραὰμ ὅτε ἐτέχθη Ἰσαάκ.

Τούτῳ τῷ ἑκατοστῷ ἔτει τοῦ Ἀβραὰμ γίνεται αὐτῷ παῖς γνήσιος Ἰσαάκ, ᾧ ἐπέζησεν ἔτη οε'.

B Πρώτῳ προφητῶν ὄντι τῷ Ἀβραὰμ ὁ τοῦ θεοῦ λόγος φανεὶς ἐν ἀνθρώπου σχήματι τὴν τῶν ἐθνῶν κλῆσιν θεσπίζει, ἣν καθ' ἡμᾶς ὁ τοῦ Χριστοῦ λόγος εἰς πέρας ἤγαγεν διὰ τῆς εἰς πάντα τὰ ἔθνη εὐαγγελικῆς διδασκαλίας.

Ἰσαὰκ ξ', ὁμοῦ ,γυϡβ'.

ἐπέζησεν ρκ', ὁμοῦ ρπ'.

Ἐκάλεσεν Ἀβραὰμ τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου αὐτῷ, ὃν ἔτεκεν αὐτῷ Σάῤῥα, Ἰσαάκ. περιέτεμεν δὲ Ἀβραὰμ τὸν Ἰσαὰκ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, καθὰ ἐνετείλατο αὐτῷ ὁ θεός.

λ' ἔτος τῆς ἐπαγγελίας.

α', β', γ', δ', ε', ϛ', ζ', η', θ', ι', ια', ιβ', ιγ', ιδ', ιε'.

2. εἶπεν αὐτῇ P. 9. Post οε' ponit P Τὸ κ' ἔτος τῆς ἐπαγγελίας. 16. Ἀβραὰμ om. P. 18. ὁ θεὸς] κύριος P. 20. α' — ε' om. P, add. m. RV.

Anni a m. c. *erit Sarrae filius.* Negavit autem Sarra dicens: *Non risi:* timuit enim. Et ait illi, *Non, risisti.*

Eversis autem Sodoma et Gomorrha, visitavit Dominus Sarram, sicut dixit: Et fecit Dominus Sarrae, sicut loquutus est, et concipiens peperit Abrahamo Sarra filium in senectute in tempus, sicut loquutus est ei Dominus.

Abraham erat annorum c. cum natus est Isaac.

Hoc anno c. Abraham, nascitur illi filius germanus Isaac, cui supervixit annos LXXV.

Abraham, primo inter Prophetas, Dei Verbum humana specie apparens, gentium vocationem promulgat, quam Christi Verbum nostris temporibus adimplevit, Evangelica doctrina per omnes nationes praedicata.

3492. Isaac, 60. coll. an. 3492.

Supervixit, 120. coll. an. 180.

Vocavit nomen filii sui, quem peperit illi Sarra, Isaac. Circumcidit autem Abraham Isaac die VIII. sicut praecepit ei Dominus.

Annus XXX. Repromissionis.

VI. VII. VIII. IX. X. XI. XII. XIII. XIV. XV.

μ' ἔτος τῆς ἐπαγγελίας. C

ιϛ', ιζ', ιη', ιθ', κ', κα', κβ', κγ', κδ', κε'.

ν' ἔτος τῆς ἐπαγγελίας.

κϛ', κζ', κη', κθ', λ', λα', λβ', λγ', λδ', λε'.

ξ' ἔτος τῆς ἐπαγγελίας.

Τούτῳ τῷ τριακοστῷ πέμπτῳ ἔτει τοῦ Ἰσαὰκ καὶ ρλε' τοῦ
Ἀβραὰμ ἐπείρασε τὸν Ἀβραὰμ ὁ θεός, καὶ εἶπεν αὐτῷ, Ἀβραὰμ
Ἀβραάμ. ὁ δὲ εἶπεν, Ἰδοὺ ἐγώ. καὶ εἶπεν, Λάβε τὸν υἱόν
σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ, καὶ πορεύθητι εἰς
τὴν γῆν τὴν ὑψηλήν, καὶ ἀνάγαγε αὐτὸν ἐκεῖ εἰς ὁλοκάρπωσιν D
ἐφ' ἓν τῶν ὀρέων ὧν ἐάν σοι εἴπω. ἀναστὰς δὲ Ἀβραὰμ τὸ R 128
πρωὶ ἐπέσαξεν τὴν ὄνον αὐτοῦ, παρέλαβε δὲ μεθ' ἑαυτοῦ δύο
παῖδας καὶ Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ. καὶ σχίσας ξύλα εἰς ὁλοκάρ-
πωσιν ἀναστὰς ἐπορεύθη· καὶ ἦλθεν ἐπὶ τὸν τόπον ὃν εἶπεν
αὐτῷ ὁ θεὸς τῇ ἡμέρᾳ τῇ τρίτῃ. καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς
ὀφθαλμοῖς εἶδεν τὸν τόπον ἀπὸ μακρόθεν. καὶ εἶπεν Ἀβραὰμ
τοῖς παισὶν αὐτοῦ, Καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου· ἐγὼ δὲ καὶ
τὸ παιδάριον πορευσόμεθα ἕως ὧδε, καὶ προσκυνήσαντες ἀνα-
στρέψομεν πρὸς ὑμᾶς. ἔλαβε δὲ Ἀβραὰμ τὰ ξύλα τῆς ὁλοκαρ- P 55 V 45
πώσεως καὶ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ. ἔλαβεν δὲ μετὰ χεῖ-

1. ἔτος] μετὰ P hic et 3. 5. 5. ἐπαγγελίας ἔτος P. 6. τῷ — ἔτει] τῷ ἔτει τῷ τριακοστῷ ε' P. 8. ὁ δὲ] καὶ P. 10. ἀνένεγκε P. 11. ἐάν] ἂν P. 14. ἦλθον εἰς τὸν P. 16. ὀφθαλμοῖς αὐτοῦ εἶδε P. 17. καθήσατε PV. Hic margo PV: ταῦτα εἶπεν λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δύναται ὁ θεός· οὐ γὰρ ἐψεύσατο. 18. διελευσόμεθα P. ib. ἕως om. P sola. 20. ἔλαβε δὲ καὶ τὸ

XL. Repromissionis.

XVI. XVII. XVIII. XIX. XX. XXI. XXII. XXIII. XXIV. XXV.

L. Repromissionis.

XXVI. XXVII. XXVIII. XXIX. XXX. XXXI. XXXII. XXXIII. XXXIV. XXXV.

Annus LX. Repromissionis.

Hoc anno quinto et tricesimo Isaac, et centesimo tricesimo quinto Abraham, tentavit Deus Abraham, et dixit ei: *Abraham, Abraham.* Et dixit: *Accipe filium tuum dilectum, quem dilexisti Isaac, et vade in terram excelsam, et offer eum ibi in holocaustum super unum montium, quos dixero tibi.*

Surgens autem Abraham mane, stravit asinum suum. Assumpsit autem secum duos pueros, et Isaac filium suum, et scindens ligna in holocaustum; surgens abiit, et venerunt in locum, quem dixit ei Deus, die tertia. Et respiciens Abraham oculis suis, vidit locum a longe.

Et dixit Abraham pueris suis: *Sedete hic cum asino: ego autem et puer transibimus usque huc, et postquam adoraverimus, revertemur ad vos.*

Accepit autem Abraham ligna holocausti, et imposuit Isaac filio suo.

ρας τὸ πῦρ καὶ τὴν μάχαιραν, καὶ ἐπορεύθησαν οἱ δύο ἅμα. εἶπε δὲ Ἰσαὰκ πρὸς Ἀβραὰμ τὸν πατέρα αὐτοῦ, Πάτερ; ὁ δὲ εἶπεν, Τί ἐστι τέκνον; εἶπε δέ, Ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα· ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς τὴν ὁλοκάρπωσιν; εἶπε δὲ Ἀβραάμ, ὁ θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. πορευθέντες δὲ ἀμφότεροι ἅμα ἦλθον ἐπὶ τὸν τόπον ὃν εἶπεν αὐτῷ ὁ θεός. καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ θυσιαστήριον, καὶ ἐπέθηκεν τὰ ξύλα, καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπέθηκεν
B αὐτὸν ἐπὶ τὸ θυσιαστήριον ἐπάνω τῶν ξύλων. καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ λαβεῖν τὴν μάχαιραν σφάξαι τὸν υἱὸν αὐτοῦ. καὶ ἐκάλεσεν αὐτὸν ἄγγελος κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ εἶπεν αὐτῷ, Ἀβραὰμ Ἀβραάμ. ὁ δὲ εἶπεν, Ἰδοὺ ἐγώ. καὶ εἶπεν, Μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον μηδὲ ποιήσῃς αὐτῷ μηδέν. νῦν γὰρ ἔγνων ὅτι φοβῇ τὸν θεὸν σὺ καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. καὶ ἀνέβλεψεν Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ καὶ εἶδεν. καὶ ἰδοὺ κριὸς εἷς κατεχόμενος ἐν φυτῷ Σαβὲκ τῶν κεράτων· καὶ ἐπορεύθη Ἀβραάμ, καὶ ἔλαβε τὸν κριόν, καὶ ἀνήνεγκεν αὐτὸν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ. καὶ ἐκάλεσεν Ἀβραὰμ τὸ ὄνομα τοῦ τόπου
C ἐκείνου Κύριος εἶδεν, ἵνα εἴπωσιν σήμερον ἐν τῷ ὄρει κύριος

πῦρ μετὰ χεῖρας P. 3. In margine ponit P: διὰ τί οὐκ εἶπεν, μάχαιρα; πόθεν πρόβατον ἐζήτει, καὶ οὐ μόσχον ἢ ἄλλο τι τῶν καθαρῶν; ib. εἶπε δὲ] λέγων V. 4. τὴν om. P. ib. εἶπε — ὁλοκάρπωσιν, τέκνον om. V. Supplevit Raderus ex Gen. XXII. 8. 7. ἐκεῖ om. P. 8. συμποδήσας PV. 13. ἐπιβάλλεις V. 14. νῦν γὰρ ἔγνων] ἀντὶ τοῦ νῦν ἔδειξας m. RV. ibid. σὺ τὸν θεὸν P. 16. ἴδεν PV. 17. ἐκ τῶν κ. P.

Accepit autem et ignem in manibus et gladium: et abierunt duo simul. Ait autem Isaac ad Abraham patrem suum, *Pater:* ille autem dixit: *Quid est, fili?* Dixit autem, *Ecce ignis et ligna? ubi est ovis in holocaustum?* Dixit autem Abraham: *Deus providebit sibi ovem in holocaustum, fili.* Pergentes autem uterque pariter, venerunt in locum, quem dixit ei Deus, et aedificavit Abraham altare, et imposuit ligna, et cum colligasset Isaac filium suum, imposuit eum in altare super ligna.

Et extendit Abraham manum suam ad accipiendum gladium, ut jugularet filium suum. Et vocavit eum Angelus Domini de coelo, et dixit ei: *Abraham, Abraham.* Ille autem dixit: *Ecce ego.* Et dixit, *Ne injicias manum tuam super puerum, neque facias ei quicquam. Nunc enim cognovi, quod times tu Deum: et non pepercisti filio tuo dilecto propter me.* Et aspiciens Abraham oculis suis, vidit: et ecce aries unus detentus in planta Sabec ex cornibus: et abiit Abraham, et accepit arietem, et obtulit eum in holocaustum, pro filio suo Isaac.

Et vocavit Abraham nomen loci illius, *Dominus vidit.* Ut dicant hodie, *In monte, Dominus visus est.* Et vocavit Angelus Domini Abra-

ὤφθη. καὶ ἐκάλεσεν ἄγγελος κυρίου τὸν Ἀβραὰμ ἐκ τοῦ δευτέρου ἐκ τοῦ οὐρανοῦ, λέγων, Κατ' ἐμαυτοῦ ὤμοσα, λέγει κύριος, οὗ εἵνεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ R 130
σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. ἦ μὴν εὐλογῶν εὐλογήσω σε καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. καὶ κληρονομήσει τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων, καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς ἀνθ' ὧν ὑπήκουσας τῆς ἐμῆς φωνῆς. ὑπέστρεψεν δὲ Ἀβραὰμ πρὸς τοὺς παῖδας αὐτοῦ, καὶ ἀναστάντες ἐπορεύθησαν ἅμα ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου, καὶ κατῴκησεν Ἀβραὰμ ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου.

Οὗτος ὁ μέγας πατριάρχης Ἀβραὰμ ὁ πρῶτος ἀνθρώπων

1. ἐκ τοῦ δευτέρου] δεύτερον P. 3. ἕνεκεν P. 8. εὐλογηθήσονται P. 9. Eieci quod post φωνῆς inferebatur Σχόλιον*). ὅτι D
τὰ τέκνα τοῦ Ἀβραὰμ περιγίνεται τῶν παρὰ θεοδόχοις λόγων καὶ (hoc om. P) ὑποχείρια ποιεῖ ἐκεῖνα ἑαυτοῖς, κληρονομεῖ τὸ σπέρμα τοῦ Ἀβραὰμ τὰς πόλεις τῶν ὑπεναντίων: de quo Ducangius notat codicem Holstenii omittere scholium ὅτι — τοῦ ὅρκου: quasi ὑπέστρεψεν — τοῦ ὅρκου, quae sunt Genesis verba, ad scholium illud pertineant. Ex V ita notatum: Σχόλιον] *in margine.* 12. Ante οὗτος ponit vocem Σχόλιον P, acsi quae sequuntur scholion sint: quod nunc demum ex margine V prodit ita ibi scriptum: . . . ερὶ ὃ ἐπλανᾶτο φρέαρ ἡ Ἄγαρ, ἐκεῖ κατῴκησεν Ἀβραάμ, ὃ καλεῖται ἑβραϊστὶ Βηρσαβεέ. ἔστι || . . τὰ πρῶτα καὶ ἐντιμότατα ὅρια τοῦ λαοῦ· διὸ καὶ ἡ φυλὴ Ἰούδα ὡς βασιλικὴ ἀκληρωτὶ λαμβάνει τὸν τόπον μετὰ || . . . τῆς ἰδίας μερίδος, καὶ πολλαχοῦ τῶν γραφῶν λέγεται ἀποδὰν (scr. ἀπὸ Δὰν) ἕως Βηρσαβεέ· ὅπερ ἴσον δύναται τῷ ἀπὸ τῶν ὁρίων || . . . Ἰουδαίας ἕως τῶν πρώτων καὶ κυριωτάτων· καὶ γὰρ εὑρίσκεται ἐν τῷ Ἰσραὴλ ὁ μὲν ἕβδομος καὶ ἐπὶ πᾶσι || κληρούμενος τὴν ἑαυτοῦ γῆν· ὁ δὲ Ἰούδας οὗ ἐστιν ἡ Βηρσαβεέ, πρὸ πάντων ἀκληρωτὶ λαμβάνων πέραν τοῦ || (Ἰορ)δάνου τὴν ἐπιβάλλουσαν αὐτῷ μερίδα.

ham secundo de coelo dicens: *Per memetipsum juravi, dicit Dominus: propterea quod fecisti verbum hoc, et non pepercisti filio tuo dilecto propter me: profecto benedicens benedicam te, et multiplicans multiplicabo semen tuum, sicut stellas coeli, et sicut arenam juxta labium maris. Et haereditabit semen tuum civitates adversariorum. Et benedicentur in semine tuo omnes gentes terrae: quia obedisti voci meae.*

Reversus est autem Abraham ad pueros suos, et surgentes abierunt simul ad Puteum juramenti, et habitavit Abraham super Puteum juramenti.

Hic est magnus ille Patriarcha Abraham, qui cum primus hominum

*) *Scholium.*

Propterea quod liberi Abraham longe caeteris praestant, qui verbum a Deo acceperant, ideo illos sibimet subditos facit, mittitque semen Abraham in haereditatem civitatum adversariorum.

P 56 καταλείψας πατρίδα καὶ γένος καὶ ἔθνος, καὶ πιστεύσας τῷ θεῷ
καὶ δικαιωθεὶς, διὰ τοῦτο καὶ τὰς ἐπαγγελίας ἔλαβεν τοῦ θεοῦ,
ἃς πρὸς αὐτὸν ἐποιήσατο ὁ θεός, ὁ ἐκ νενεκρωμένου σώματος
καὶ νενεκρωμένης μήτρας μυριάδας συστησάμενος, ὁ τὸν εὐλο-
γημένον καρπὸν ὡς ἀπὸ ῥίζης φὺς τῷ κόσμῳ, δι' οὗ κόσμος εὐ-
λογεῖται καὶ ἀνακτίζεται, ὁ δι' ἔργων καὶ δι' ἐπαγγελιῶν μη-
νύων τῷ κόσμῳ τὴν ἐκ νεκρῶν ἀνάστασιν, δι' ἐπαγγελιῶν μέν,
ὡς τὸ „ἐνευλογηθήσονται ἐν σοὶ καὶ ἐν τῷ σπέρματί σου πάντα τὰ
V 46 ἔθνη", καθάπερ καὶ ὁ ἀπόστολος βοᾷ, „τῷ δὲ Ἀβραὰμ ἐῤῥέθη-
B σαν αἱ ἐπαγγελίαι καὶ τῷ σπέρματι αὐτοῦ, ὅς ἐστιν Χριστός"·
δι' ἔργων δέ, ὅτε τὸν μονογενῆ υἱὸν εἰς θυσίαν προσήνεγκεν.
οὕτω γὰρ λέγει ὁ κύριος, „Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο
ἰδεῖν τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδεν καὶ ἐχάρη." ὁ δὲ ἀπόστο-
λος Παῦλος βοᾷ, „πίστει προσήνεγκεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειρα-
ζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδε-
R 132 ξάμενος, πρὸς ὃν ἐλαλήθη ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα,
λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγεῖραι δυνατὸς ὁ θεός· ὅθεν αὐ-
τὸν καὶ ἐν παραβολῇ ἐκομίσατο. πάλιν γὰρ καὶ ἐν τῇ πρὸς Ῥω-
C μαίους βοᾷ, „καθὼς γέγραπται, πατέρα πολλῶν ἐθνῶν τέθεικά
σε, κατέναντι οὗ ἐπίστευσεν θεοῦ τοῦ ζωογονοῦντος τοὺς νε-
κροὺς καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα, ὃς παρ' ἐλπίδα ἐπ'

2. ἔλαβεν addidit Raderus. 8. τὸ] Gen. XXII. 18. 9. ὁ ἀπόστολος] Gal. III. 16. 10. αἱ om. P. 12. λέγει] Ioan. VIII. 56. 13. ἴδεν PV. 14. Παῦλος] Hebr. XI. 17. 17. ἐκ νεκρῶν ἐγεῖραι] ἐκ ἐγεῖραι R, ἐξεγεῖραι P. 18. ἐν τῇ πρὸς Ῥωμαίους] IV. 17. 20. ζωογονοῦντος] ζωοποιοῦντος P ex emendatione Raderi.

patriam, proximos, et gentem suam reliquisset, credidissetque Deo, eapropter promissiones quas illis fecit Deus accepit. Qui ex moribundo corpore, et moribunda vulva, multa hominum millia confecit. Qui fructum benedictum velut a radice mundo edidit, per quem mundus benedicitur et instauratur. Qui per opera, et per promissa, annuntiat mundo ex mortuis resurrectionem, ac per promissa quidem, ut hisce verbis: *Benedicentur in te, et in semine tuo, omnes gentes.* Quemadmodum etiam clamat Apostolus: *Abraham autem dictae sunt promissiones, et semini ejus qui est Christus.* Per opera vero, quando unigenitum filium in sacrificium obtulit. Sic enim ait Dominus: *Abraham pater noster exultavit ut videret diem meum, et vidit, et gavisus est.* Paulus vero Apostolus clamat: *Fide obtulit Abraham Isaac cum tentaretur; et unigenitum offerebat, in quo susceperat repromissiones, ad quem dictum est: Quia in Isaac vocabitur tibi semen: arbitrans quia et a mortuis suscitare potens est Deus:* unde eum et *in parabolam* accepit. Rursum enim ad Romanos clamat Paulus: *Sicut scriptum est, Patrem multarum gentium posui te ante Deum, cui credidisti, qui vivificat mortuos, et vocat ea quae non*

ἐλπίδι ἐπίστευσεν εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν κατὰ τὸ εἰρημένον, οὕτως ἔσται τὸ σπέρμα σου, καὶ μὴ ἀσθενήσας τῇ πίστει οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα ἤδη νενεκρωμένον, ἑκατονταετὴς που ὑπάρχων, καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάῤῥας. εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ θεῷ καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται δυνατός ἐστιν καὶ ποιῆσαι· διὸ καὶ D ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον ὅτι ἐλογίσθη αὐτῷ, ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλει λογίζεσθαι τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν κύριον ἡμῶν ἐκ νεκρῶν, ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν καὶ ἠγέρθη διὰ τὴν δικαιοσύνην ἡμῶν." τὸ δὲ πορευθῆναι τρεῖς ἡμέρας ἕως οὗ φθάσει τὸν τόπον ὃν ἔδειξεν αὐτῷ ὁ θεός, ἵνα ἀνενέγκῃ τὸν υἱὸν αὐτοῦ εἰς θυσίαν ἐφ' ἓν τῶν ὀρέων, καθὼς γέγραπται, καὶ τὸ ἀντὶ τοῦ γνησίου καὶ φυσικοῦ υἱοῦ δεῖξαι αὐτῷ κριόν, ἵνα προσενέγκῃ, πάντα σύμβολα ἦσαν καὶ τύποι τοῦ κατὰ Χριστὸν μυστηρίου τοῦ πάθους καὶ τῆς ἀναστάσεως· πᾶσα γὰρ ἡ γραφὴ P 57 πρὸς τοῦτον τὸν σκοπὸν ὁρᾷ.

λϛʹ.

Τούτῳ τῷ τριακοστῷ ἕκτῳ ἔτει τοῦ Ἰσαὰκ Σάῤῥα ἡ γυνὴ Ἀβραὰμ ἀπέθανεν ζήσασα ἔτη ρκζʹ.

1. αὐτὸν τὸν πατέρα P. 2. σου om. P. 3. τῇ om. P.

sunt, tanquam ea quae sunt: qui contra spem in spem credidit, ut fieret pater multarum gentium, secundum quod dictum est ei: Sic erit semen tuum (* sicut stellae coeli et arena maris) *et non infirmatus est in fide, nec consideravit corpus suum emortuum, cum jam fere centum esset annorum, et emortuam vulvam Sarrae. In repromissione etiam Dei non haesitavit diffidentia, sed confortatus est fide, dans gloriam Deo, plenissime sciens, quia quaecunque promisit, potens est et facere. Ideo et reputatum est illi ad justitiam. Non est autem scriptum tantum propter ipsum, quia reputatum est illi ad justitiam, sed et propter nos, quibus reputabitur credentibus in eum, qui suscitavit Jesum Dominum nostrum a mortuis, qui traditus est propter delicta nostra, et resurrexit propter justificationem nostram.* Quod autem profectus sit tres dies donec veniret ad locum, quem monstravit illi Deus, ut offerret filium suum in sacrificium, super unum montium, sicut scriptum est. Et quod pro filio proprio et naturali ostenderet illi Deum arietem, quem offerret; haec omnia sunt symbola et figurae mysterii Christi passionis et resurrectionis: tota enim scriptura ad hunc scopum respicit.

*) In MS. desiderantur, a librario forte omissa.

XXXVI.

Anno hoc tricesimo sexto Isaac, Sarra uxor Abraham decessit: cum vixisset annos CXXVII.

λζ′, λη′, λϑ′, μ′.

Τούτῳ τῷ ἔτει τῆς αὐτοῦ ἡλικίας Ἰσαὰκ ἔλαβε γυναῖκα τὴν Ῥεβέκκαν, ὄντος Ἀβραὰμ τοῦ πατρὸς αὐτοῦ ἐτῶν ρμ′.

μα′, μβ′, μγ′, μδ′, με′.

ο′ ἔτος τῆς ἐπαγγελίας.

R 134 B μϛ′, μζ′, μη′, μϑ′, ν′, να′, νβ′, νγ′, νδ′, νε′.

π′ ἔτος τῆς ἐπαγγελίας.

νϛ′, νζ′, νη′, νϑ′, ξ′.

Τούτῳ τῷ ἔτει γίνονται τῷ Ἰσαὰκ δύο παῖδες δίδυμοι ἐκ τῆς Ῥεβέκκας, πρῶτος Ἠσαῦ ὁ καὶ Ἐδώμ, ἀφ' οὗ τὸ Ἰδουμαίων ἔθνος, δεύτερος Ἰακὼβ ὁ μετονομασθεὶς Ἰσραήλ, ἀφ' οὗ Ἰσραηλῖται οἱ καὶ Ἰουδαῖοι.

Anno XX. Imperii Tiberii, qui a XXI. mensis Martii secundum Romanos praesentis Indictionis v. initium sumit, XXV. anno vigintioctennalis solis, et XII. anno decemnovennalis lunae cycli, et praedictis Coss. invento die XIV. primi mensis, lunae XI. secundum Romanos mensis Aprilis, in feria VI. hebdomadis, ut juxta praedictas methodos deprehendimus, Apostoli tum primum Pascha celebrarunt post Domini in coelos Assumptionem: sanctam autem ejus resurrectionem XIII. die Xanthici mensis. Illi igitur primum, uti dictum est, hoc praesenti anno celebrato Paschate, sacris Sancti Dei Ecclesiis quotannis observandum tradiderunt XIV. diem primi mensis lunae post diei ascensum, quo vernum aequinoctium incidit, id est XXI. mensis secundum Romanos Martii. Et quidem extra omnem controversiam haberi debet, magna luminaria in mundi constitutione post primum diem esse creata, ac mysticam Domini cum Discipulis coenam, tempore quo est passus, triduo ante sanctam Resurrectionem, fuisse peractam. Proinde recte statutum est ante XI. Kalendas Apriles Pascha non peragendum, neque ante XI. Kalendas Apriles, vel post VII. Kalendas Maias Paschale festum celebrare fas esse. Ita ergo ab XI. ex

καλανδῶν ἀπριλίων μηδὲ μετὰ τὴν πρὸ ζ' καλανδῶν μαΐων πάσχα ἑορτάσαι. (P 226) οὕτω τοίνυν ταῖς δηλωθείσαις ἀπὸ τῆς πρὸ ια' καλανδῶν ἀπριλίων μέχρι τῆς πρὸ ζ' καλανδῶν μαΐων ἡμέραις κανονιστέον. καὶ ἐὰν ἐν κυριακῇ φθάσῃ ἡ ιδ' τῆς σελήνης, εἰς τὴν ἐπιοῦσαν κυριακὴν οἱ τῆς καθολικῆς τοῦ Χριστοῦ ἐκκλησίας μαθηταὶ τὸ πάσχα τελοῦμεν, ἵνα μὴ μετὰ τῶν Ἰουδαίων ἑορτάσωμεν. εἰ δὲ ἐν δευτέρᾳ τυχὸν ἢ τρίτῃ ἢ τετράδι ἢ πέμπτῃ ἢ παρασκευῇ ἢ σαββάτῳ, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, ἡ ιδ' φθάσῃ τοῦ φέγγους, εἰς τὴν προϊοῦσαν κυριακὴν ἡμεῖς οἱ Χριστιανοὶ τελοῦμεν τὸ πάσχα, ἐπεκτεινομένης δηλαδὴ τῆς ποσταίας (B) τοῦ φέγγους διὰ τὴν τῆς κυριακῆς ἡμέραν.

Τινὲς δὲ κατὰ τῶν ἐν ταῖς ἀνὰ πᾶσαν τὴν ὑφ' ἡλίῳ ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις τελουμένων ἑορτῶν οὐ μόνον γλώσσας ἀλλὰ δὴ καὶ χεῖρας κινῆσαι τολμήσαντες οὐκ ὤκνησαν καὶ ἐν τούτῳ τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν ἐπισκῆψαι, διότι τὴν σεπτὴν τῆς ἐκ νεκρῶν ἀναστάσεως Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἑορτὴν πάσχα προσαγορεύει, ἀγνοήσαντες, ὡς ἔοικεν, τὸ διὰ τῆς λέξεως ταύτης δηλούμενον. ὅπερ γὰρ τῇ ἑλλάδι φωνῇ λέγεται διάβασις καὶ ἔκβασις καὶ ὑπέρβασις, τοῦτο τῇ Ἑβραίων γλώσσῃ φασόχ, ἤγουν πάσχα, ὀνομάζεται.

(C) Ἀναγκαίως οὖν ἡ τοῦ θεοῦ ἐκκλησία οὐ μόνον τὸ πάθος τοῦ κυρίου, ἀλλὰ δὴ καὶ τὴν ἀνάστασιν αὐτοῦ πάσχα προσαγο-

7. τετράδι] τετάρτῃ P. 12. ὑφ' ἡλίου P, ὑφιλῷ m. R. 19. φασέχ P sola.

a. d. Kal. Apriles usque ad ex a. d. VII. Kal. Maias hisce designatis diebus, regula est sumenda. Quod si XIV. luna in diem Dominicam inciderit, sequenti Dominica nos Catholicae Christi Ecclesiae discipuli Pascha celebramus, ne cum Judaeis illud celebremus. Si autem in secundam forte, aut tertiam, aut quartam, aut quintam, aut Parasceven aut Sabbatum, ut in superioribus dictum est, XIV. lunae inciderit, proxime sequenti Dominica nos Christi Pascha agimus, producta ac prorogata nimirum propter diem Dominicam quota seu aetate lunae.

Non defuere autem qui dum contra receptum ab omnibus quae sub sole sunt sanctis Dei Ecclesiis, in celebrandis festis Paschalibus morem, non linguas duntaxat, sed etiam manus exerere audent, sanctam Dei Ecclesiam in hoc pariter reprehendere non dubitantes, quod venerandam a mortuis Christi Dei Resurrectionis festivitatem Paschatis nomine donaverit, cum ipsi, ut videtur, ignorent quid hoc vocabulo intelligamus. Quod enim Graeca lingua dicitur transitus, exitus et transmissio, illud ipsum Hebraeorum idiomate Phasech, seu Pascha, nuncupatur.

Necessario igitur Dei Ecclesia non solum Passionem Domini, sed etiam ejus Resurrectionem Pascha appellat. Quippe propter Domini

ρεύει. διὰ γὰρ τοῦ πάθους τοῦ κυρίου καὶ τῆς ἀναστάσεως αὐ-
τοῦ διάβασιν καὶ ἔκβασιν καὶ ὑπέρβασιν ἡ τῶν ἀνθρώπων φύσις
εἴληφεν τοῦ ἔχοντος τὸ κράτος τοῦ θανάτου, αὐτοῦ τε τοῦ θα-
νάτου καὶ τοῦ ᾅδου καὶ τῆς φθορᾶς. εἰ γὰρ ὁ θάνατος τοῦ
Χριστοῦ τοῦτο ἡμῖν ἐδωρήσατο, πολλῷ μᾶλλον ἡ ἀνάστασις αὐ-
τοῦ, ὅτε ἀνέστη ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων, μηκέτι
μέλλων ὑποστρέφειν εἰς διαφθοράν. θάνατος γὰρ οὐκέτι κυριεύει R 536
κατὰ τὴν τῶν θείων ἀποστόλων διδασκαλίαν. D

Δοκοῦσι δέ μοι οἱ κατηγορῆσαι τῆς ἐκκλησίας ἐν τούτῳ
τολμήσαντες παρανοῆσαι τὴν ἐκ τοῦ Λευιτικοῦ μαρτυρίαν, ἐν ᾗ
φησιν ὁ νομοθέτης, Καὶ τῇ ιδ' τοῦ α' μηνὸς ἀνὰ μέσον τῶν ἑσπε-
ρινῶν πάσχα τῷ κυρίῳ· καὶ ἐν τῇ ιε' τοῦ μηνὸς τούτου ἑορτὴ
ἀζύμων τῷ κυρίῳ ζ' ἡμέρας ἔδεσθε ἄζυμα, καὶ ἡ ἡμέρα ἡ α'
κλητὴ ἁγία ἔσται ὑμῖν, ὁμοίως καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ
ἁγία ἔσται ὑμῖν. ἀλλὰ τοὺς μὲν Ἰσραηλίτας πάσχα προσαγο-
ρεύειν τὴν ιδ' μόνον ὁ νομοθέτης προστάττει, ἐπειδὴ ἐν αὐτῇ
τῇ ἡμέρᾳ κατὰ θεῖον πρόσταγμα τὸν ἀμνὸν πρὸς ἑσπέραν ἔθυ- P 227
σαν, καὶ τῷ αἵματι αὐτοῦ τοὺς σταθμοὺς καὶ τὰς φλιὰς ἔχρισαν,
καὶ τὰ κρέα ἐν αὐτῇ τῇ νυκτὶ ἔφαγον, καὶ οὕτω μεσούσης τῆς
νυκτός, καθὼς γέγραπται, διερχόμενος ὁ θεὸς ἐν γῇ Αἰγύπτου
πατάξαι τὰ πρωτότοκα τῶν Αἰγυπτίων, θεασάμενος τὸ αἷμα,
τοὺς μὲν υἱοὺς Ἰσραὴλ ἐσκέπασεν, παρελθὼν αὐτῶν τὴν θύραν

8. τῶν om. P. 10. τοῦ om. P. *ibid.* Λευιτικοῦ] XXIII. 4.
20. Αἰγύπτῳ P.

Passionem illiusque Resurrectionem, transitum, exitum, et transmissionem humana accepit natura illius qui in mortem habet imperium, et potestatem: in ipsam, inquam mortem, inferos, et corruptionem. Si enim mors Christi id nobis est elargita, multo magis ejus Resurrectio, quando ex mortuis resurrexit, ipse primitiae dormientium, non amplius in corruptionem reversurus. Mors quippe, secundum divinorum Apostolorum doctrinam, non amplius dominatur.

Illi porro mihi videntur in hoc Ecclesiam accusare, dum prave interpretari audent testimonium ex Levitico, ubi ita ait Legislator: *Et quarta decima die primi mensis ad vesperam Phase Domino. Et quinta decima mensis hujus festum Azymorum Domino: septem diebus comedetis Azyma, et dies prima vocata, sancta erit vobis.* Verum Israelitis praecipit Legislator, ut XIV. lunam Pascha duntaxat appellent: quandoquidem ipso die, secundum divinum praeceptum, sub vesperam agnum immolarunt, cujus carnes, sanguine illius liminibus et postibus prius inunctis, in ipsa nocte comederunt. Atque ita, quemadmodum scriptum est, transiens media nocte Dominus in terram Aegypti, ut interficeret primogenitos Aegyptiorum, viso sanguine, filios Israel operuit, ipsorum fores pertransiens, nec sinens quenquam ex iis ab exterminatore percuti.

*καὶ μὴ ἀφεὶς τὸν ὀλοθρεύοντα πατάξαι τινὰ ἐξ αὐτῶν. Αἰγυ-
πτίοις δὲ τὴν φθορὰν ἐναπέσκηψεν καὶ τὰ πρωτότοκα αὐτῶν
V 182 ἀνεῖλεν· καὶ οὕτω μετὰ τὸ μεσονύκτιον τοὺς υἱοὺς Ἰσραὴλ ἐξή-
γαγεν ἐξ Αἰγύπτου. γέγραπται γὰρ ἐν τῇ ἱερᾷ βίβλῳ τῆς Ἐξό-
δου ἐπὶ λέξεως οὕτως. „ἐκάλεσεν δὲ Μωϋσῆς πᾶσαν τὴν γερου-
B σίαν Ἰσραήλ, καὶ εἶπεν πρὸς αὐτούς, Ἀπέλθατε, λάβετε ὑμῖν
αὐτοῖς πρόβατον κατὰ συγγενείας ὑμῶν, καὶ θύσατε τὸ πάσχα·
λήψεσθε δὲ δέσμην ὑσσώπου, καὶ βάψαντες ἀπὸ τοῦ αἵματος τοῦ
εἰς τὴν θύραν καθίξετε τῆς φλιᾶς, καὶ ἐπ' ἀμφοτέρων τῶν
σταθμῶν ἀπὸ τοῦ αἵματος ὅ ἐστι παρὰ τὴν θύραν· ὑμεῖς δὲ οὐκ
ἐξελεύσεσθε ἕκαστος τὴν θύραν τοῦ οἴκου αὐτοῦ ἕως πρωΐ. καὶ
παρελεύσεται κύριος πατάξαι τοὺς Αἰγυπτίους, καὶ ὄψεται τὸ αἷ-
μα ἐπὶ τῆς φλιᾶς καὶ ἐπ' ἀμφοτέρων τῶν σταθμῶν· καὶ παρε-
λεύσεται κύριος τὴν θύραν, καὶ οὐκ ἀφήσει τὸν ὀλοθρεύοντα εἰσ-
ελθεῖν εἰς τὰς οἰκίας ὑμῶν πατάξαι. καὶ φυλάξασθε τὸ ῥῆμα
τοῦτο νόμιμον σεαυτῷ καὶ τοῖς υἱοῖς σου ἕως αἰῶνος. ἐὰν δὲ εἰσ-
C ἔλθητε εἰς τὴν γῆν, ἣν δῷ κύριος ὑμῖν, καθότι ἐλάλησε, καὶ
R 540 φυλάξετε τὴν λατρείαν ταύτην. καὶ ἔσται, ἐὰν λέγωσι πρὸς ὑμᾶς
οἱ υἱοὶ ὑμῶν, Τίς ἡ λατρεία αὕτη; καὶ ἐρεῖτε αὐτοῖς, Θυσία τὸ
πάσχα τοῦτο κυρίου, ὃς ἐσκέπασε τοὺς οἴκους τῶν υἱῶν Ἰσραὴλ
ἐν γῇ Αἰγύπτου, ἡνίκα ἐπάταξε τοὺς Αἰγυπτίους, τοὺς δὲ οἴ-
κους ἡμῶν ἐῤῥύσατο. καὶ κύψας ὁ λαὸς προσεκύνησεν. καὶ*

2. *ἐνεπέσκηψεν* P. 4. *Ἐξόδου*] XII. 21. 6. *ἀπέλθετε* P. 7. *αὐτοῖς* om. P. 8. *λήψεσθε*] *καὶ λήψεσθε* P sola. *ib.* *αἵματος τοῦ*] *αἵματος αὐτοῦ* V, *αἵματος ὅ ἐστι* P. 9. *καθίξετε* V, *καὶ θίξετε ἐπὶ* P, *καὶ θίξετε* R. 21. *Αἰγύπτῳ* P.

Aegyptiis vero exitium immisit, sublatis eorum primogenitis: sicque filios Israel post mediam noctem ex Aegypto eduxit. Scribitur enim in sacro Exodi libro ad verbum: *Vocavit Moyses omnes seniores Israel*, et *dixit ad illos*, *Ite*, *et accipite agnum per cognationes vestras et sacrificate Pascha. Accipietis autem fasciculum hyssopi*, *et tingentes ex sanguine qui est apud januam*, *et tangetis limen*, *et utrosque postes a sanguine*, *qui est apud januam. Vos autem non egrediemini unusquisque januam domus suae usque ad mane. Et transibit Dominus ad percutiendum Aegyptios*, *et videbit sanguinem in limine*, *et super utrosque postes*, *et transibit Dominus januam*, *et non sinet exterminatorem ingredi in domos vestras ad percutiendum. Et servabitis verbum hoc legitimum tibi et filiis tuis usque ad saeculum. Si autem ingressi fueritis in terram*, *quam dederit Dominus vobis*, *sicut locutus est*, *servabitis cultum hunc. Et erit*, *si dixerint ad vos filii vestri*, *Quis cultus hic? Et dicetis illis*, *Victima Pascha hoc Domino*, *qui protexit domos filiorum Israel in Aegypto*, *quando percussit Aegyptios*, *domos autem nostras liberavit. Incurvatusque populus adoravit.* Et rursum: *Si interrogaverit te filius tuus post haec dicens*, *Quid hoc? dices illi*, *Quoniam in manu forti eduxit nos Dominus ex Aegypto*,

πάλιν, Ἐὰν ἐρωτήσῃ σε ὁ υἱός σου μετὰ ταῦτα λέγων, Τί τοῦτο; ἐρεῖς αὐτῷ ὅτι Ἐν χειρὶ κραταιᾷ ἐξήγαγεν ἡμᾶς κύριος ἐκ γῆς Αἰγύπτου ἐξ οἴκου δουλείας· ἡνίκα δὲ ἐσκλήρυνε Φαραὼ ἐξαποστεῖλαι ἡμᾶς, ἀπέκτεινε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου ἀπὸ D πρωτοτόκων ἀνθρώπων ἕως πρωτοτόκων κτηνῶν. καὶ ἔσται εἰς σημεῖον ἐπὶ τῆς χειρός σου καὶ ἀσάλευτον πρὸ ὀφθαλμῶν σου. ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγέ με κύριος ἐξ Αἰγύπτου.“ τούτων οὕτως ὑπὸ τῆς θεοπνεύστου γραφῆς εἰρημένων εἰκότως ἄρα ἐκείνην τὴν ἡμέραν μόνον πάσχα οἱ υἱοὶ Ἰσραὴλ προσηγόρευον, τὴν δὲ ιε' καὶ τὰς μετὰ αὐτὴν ς' ἡμέρας ἑορτὴν ἀζύμων. ὅθεν τὴν ἑβραΐδα γλῶσσαν εἰς τὴν ἑλληνίδα φωνὴν μεταβάλλοντες διαβατήρια καὶ ὑπερβάσια τὴν ἑορτὴν ταύτην ἐκάλουν, ὡς ἔστιν τοῦτο γνῶναι ἔκ τε τῶν θεοφόρων τῆς ἐκκλησίας διδασκάλων καὶ ἐκ τῶν παρ' Ἑβραίοις σοφῶν, Φίλωνος λέγω καὶ Ἰωσήπου. ἡ δὲ P 228 τοῦ θεοῦ ἐκκλησία οὐ μόνον τὸ πάθος καὶ θάνατον τοῦ Χριστοῦ ἀλλὰ καὶ τὴν ἀνάστασιν αὐτοῦ πάσχα ὀνομάζει ἀναγκαίως διὰ τὴν ῥηθεῖσαν αἰτίαν, εἰ καὶ ἐν οἱαδήποτε ἡμέρᾳ τῶν ἑπτὰ ἡμερῶν τῶν μετὰ τὴν ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης εὑρεθείη αὕτη, λέγω δὲ ἡ ἀνάστασις, ἑορταζομένη. ὅθεν Βασίλειος ὁ μέγας, ὁ Καισαρείας Καππαδοκίας ἐπίσκοπος γεγονώς, ἐν τῷ λόγῳ τῷ προτρεπτικῷ εἰς τὸ βάπτισμα μεγάλῃ τῇ φωνῇ κηρύττει βοῶν, Πᾶς μὲν οὖν χρόνος εὐκαιρίαν ἔχει πρὸς τὴν διὰ τοῦ βαπτίσματος

1. πάλιν] XIII. 14. *ib.* ἐρωτήσει PV. 2. ἐγχειρὶ V. 5. ἀνθρώπων om. R, uncis inclusum addit P. *ib.* εἰς om. P. 7. τούτων οὖν οὕτως P. 13. θεοφόρων — τῶν om. P. 14. Φίλωνος] vol. II. p. 169. ed. Mang. *ib.* Ἰωσήπου] Arch. II. 14. 6. 19. ὁ Καισαρείας] Καισαρείας P.

e domo servitutis, quando Pharao induraverat cor ne dimitteret nos, interfecit Dominus omne primogenitum in terra Aegypti, a primogenitis hominum, usque ad primogenita jumentorum. Et erit signum in manu tua, et immotum ante oculos tuos. In manu enim potenti eduxit me Dominus ex Aegypto. His igitur ab inspirata a Deo scriptura sic dictis, merito sane diem illum duntaxat Pascha appellarunt filii Israel: quintamdecimam vero, et sex illam insequentes, Festum Azymorum. Unde qui Hebraeam linguam in Graecanicam transtulerunt, Diabateria, et Hyperbasia, seu dies transitus et exitus, Festum hoc nuncuparunt: quod colligere licet ex iis qui apud Hebraeos doctrinae laude claruerunt, Philone, inquam, et Josepho. Ecclesia vero non solum Passionem et mortem Christi, sed etiam ejus Resurrectionem Pascha necessario appellat, ea quae allata est causa, in quamcumque ex VII. diebus post decimam quartam primi mensis lunae illa inciderit. Unde Basilius magnus, Caesareae Cappadociae Episcopus, in adhortatione ad Baptismum, ingenti voce praedicabundus clamat: *Omne quidem tempus opportunum est ad saluta-*

B σωτηρίαν, κἂν νύκτα εἴπῃς κἂν ἡμέραν κἂν ὥραν κἂν στιγμὴν
χρόνου κἂν τὸ βραχύτατον· πολλῷ δὲ δήπου εἰκὸς ἐπιτηδειότερον
εἶναι τὸν οἰκειότατον. τί δ' ἂν γένοιτο τῆς ἡμέρας τοῦ πάσχα
συγγενέστερον πρὸς τὸ βάπτισμα; ἡ μὲν γὰρ ἡμέρα μνημόσυνόν
ἐστιν ἀναστάσεως, τὸ δὲ βάπτισμα δύναμίς ἐστι πρὸς τὴν ἀνά-
στασιν. ἐν τοίνυν τῇ ἀναστασίμῳ τῆς ἀναστάσεως τὴν χάριν
R 542 ὑποδεξώμεθα. καὶ Γρηγόριος δὲ ὁ θεολόγος ἐν τῷ εἰς τὸ πάσχα
λόγῳ, οὗ ἡ ἀρχή, Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, φησὶν ὁ θε-
σπέσιος Ἀμβακούμ, τὰ παραπλήσια διδάσκει, γράφων ὧδέ πως·
Πάσχα κυρίου, πάσχα, καὶ πάλιν ἐρῶ, πάσχα, τιμὴ τῆς ἁγίας
C V 183 τριάδος. αὕτη ἑορτῶν ἡμῖν ἑορτὴ καὶ πανηγύρεων πανήγυρις,
τοσοῦτον ὑπεραίρουσα οὐ τὰς ἀνθρωπικὰς μόνον καὶ χαμαὶ ἐρχο-
μένας ἀλλ' ἤδη καὶ τὰς αὐτοῦ Χριστοῦ καὶ ἐπ' αὐτῷ τελουμέ-
νας, ὅσον ἀστέρος ἥλιος. καλὴ μὲν οὖν καὶ ἡ χθὲς ἡμῖν λαμ-
προφορία καὶ φωταγωγία, ἣν ἰδίᾳ τε καὶ δημοσίᾳ συνεστησάμεθα
πᾶν γένος ἀνθρώπων μικροῦ καὶ ἀξία πᾶσα, δαψιλεῖ τῷ πυρὶ
τὴν νύκτα καταφωτίζοντες, καὶ τοῦ μεγάλου φωτὸς ἀντίτυπος,
ὅσον τε οὐρανὸς ἄνωθεν φρυκτωρεῖ κόσμον ὅλον αὐγάζων τοῖς
παρ' ἑαυτοῦ κάλλεσι καὶ ὅσον ὑπερουράνιον ἔν τε ἀγγέλοις τῇ
D πρώτῃ φωτεινῇ φύσει μετὰ τὴν πρώτην τὸ ἐκεῖθεν καταυγάζεσθαι
καὶ ὅσον ἐν τῇ τριάδι, παρ' ἧς φῶς ἅπαν συνέστηκεν ἐξ ἀμερί-

12. χαμαὶ ἐρχομένας] Imitatur epicum χαμαὶ ἐρχόμενοι ἄνθρωποι.
14. ἀστέρος PV. ἀστέρας Gregorius vol. I. p. 846. ed. Benedictin.
ib. καὶ ἡ χθὲς] καὶ ἡχθὲς V, χθὲς P. 15. συνιστάμεθα P. 16.
μικροῦ δεῖν P. 20. καταυγάζεται m. P.

rem baptismatis fontem excipiendum, sive diem dicas, sive noctem, sive horam, sive momentum, sive quod momento brevius est: sed jure meritissimo opportunior est dies proprius et ad eam rem designatus. Quid autem die Paschae cognatius ad baptismum? Haec enim dies memoria est Resurrectionis. Baptismus autem janua est ad Resurrectionem. Recipiamus ergo his Paschalibus feriis pignus et gratiam Resurrectionis. Et Gregorius Theologus oratione in Pascha, cujus hoc initium, *In custodia mea stabo, inquit divinus Abacuc*, omnino gemina docet, cum ita scribit: *Pascha Domini, Pascha, iterum dico, Pascha, honor sacrosanctae Trinitatis. Hoc est festorum festum, et celebritas celebritatum; tanto reliquis omnibus non humanis tantum et ab hominibus profectis, sed ipsis Christi festis diebus clarius, quanto sol stellas superat claritate. Illustris quidem nobis et hesterna lux plena luminum et lucernarum quas gestavimus fuit, quam publice privatimque omnes prope mortales, et omnes omnium dignitatum ordines pulsa crebris ignibus nocte, peregimus, lux inquam magni illius solis umbra, tanto magis umbra, quanto coelum altius totum terrarum orbem suis ornamentis illustrat, quantoque clarius illud lumen, quod supracoeleste est, et in Angelis, et in ipsa Trinitate, a qua splendor omnis velut ex aeterno fonte luminis trahitur, decerpiturque relucet. Prae-*

στου φωτὸς μεριζόμενον καὶ τεμνόμενον. κάλλιον δὲ ἡ σήμερον καὶ περιφανεστέρα, ὅσον χθὲς μὲν πρόδρομον ἦν τοῦ μεγάλου φωτὸς ἀνιστάμενον τὸ φῶς καὶ οἷον εὐφροσύνη τις προεόρτιος· σήμερον δὲ τὴν ἀνάστασιν αὐτὴν ἑορτάζομεν οὐκέτι ἐλπιζομένην, ἀλλ' ἤδη γεγενημένην καὶ κόσμον ὅλον ἑαυτῇ συνάγουσαν.

Ἐκ τῶν ἱερῶν τοίνυν καὶ θεοπνεύστων λογίων καὶ τῶν ὁσίων τῆς ἐκκλησίας διδασκάλων ταῦτα σαφῶς διδαχθέντες μετὰ παῤῥησίας οἱ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας λέγωμεν, Τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη καὶ ἀνέστη Χριστός. P 229 καὶ πάσχα ὀνομάζομεν, ὡς ἀνωτέρω εἴρηται, τὸν θάνατον τοῦ κυρίου καὶ τὴν ἀνάστασιν.

Εἶτα γνῶναι βουλόμενοι καὶ τὴν ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης τὸ πότε ἔφθασεν αὕτη, τὰ ͵εφμ' ἔτη ποιοῦμεν παρὰ τὸν ιθ'. ιθ' α' ͵γω'· ιθ' Ϟ' γίνονται ͵αψι'· ιθ' μία γίνονται ιθ'· λοιπὸν ια'. τὸ οὖν ια' ἔτος τῆς κατὰ φύσιν ἐννεακαιδεκαετηρίδος ἔχει προσκειμένην ἐπακτὴν μίαν· ταύτῃ προστίθεμεν ιγ' τὰς πρὸ τῶν R 542 φωστήρων, ζ' τὰς προσελήνους καὶ ια' τὰς ἀπὸ κα' τοῦ μαρτίου μηνός, ἀπριλλίου ιβ'· γίνονται μδ'· ἔκβα λ'· λοιπὸν ιδ'. καὶ ἔγνωμεν ὡς εἰς ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης κατὰ τὸ παρὸν B ἔτος ἔφθασεν τῇ ιβ' τοῦ ἀπριλλίου μηνός. εἶτα γνῶμεν καὶ ποίᾳ ἡμέρᾳ τῆς ἑβδομάδος ἔφθασεν αὕτη· τοῖς ͵εφμ' ἔτεσιν προστίθε-

2. ὅσον] ὅσῳ Gregorius. 5. συνάγουσα V. 10. τὸ πάσχα] I. Cor. V. 7. ib. ἐθύθη P. 11. ἀνώτερον P. 14. τὸν] τῶν PV. 16. ιθ' ετηρίδος P. 18. τὰς] τὰ V, τοὺς P. 21. ποία ἡμέρα PV.

clarior ergo lux hodierna, quod hesterna hodiernae quasi nuntia fuerit, et veluti nascens primum jubar, et praecepta quaedam futuri sequentisque festi laetitia. Hodierna vero die ipsum resurgentis Christi triumphum agamus, non speratum amplius aut expectatum, sed praesentem, totumque ad se mundum attrahentem.

A sacris igitur et a Deo dictatis oraculis, sanctisque Ecclesiae doctoribus haec clare edocti, quotquot ex sancta Catholica et Apostolica sumus Ecclesia libere dicamus, *Pascha nostrum pro nobis immolatus est Christus, et resurrexit.* Et Pascha appellamus, ut supra dictum est, mortem Domini et Resurrectionem.

Porro si velimus nosse decimamquartam primi mensis lunae, et quando illa accidit, annos v. MDXL. partimur per XIX. XIX. vero ducimus in CC. existunt III. MDCCC. XIX. in LXXXX. prodeunt MDCCX. XIX. semel efficiunt XIX. relinquuntur XI. Undecimus ergo annus naturalis decemnovennalis cycli adjunctam habet epactam unam, cui adjicimus XIII. illas anteluminares VII. antelunares, et XI. a XXI. Martii XII. Aprilis, et fiunt XLIV. abjice XXX. relinquuntur XIV. Intelligimus ergo quemadmodum hoc praesenti anno XIV. primi mensis lunae incidat in XII. Aprilis. Quod

μων τὸ δʹ ͵ατπεʹ· γίνονται ͵ζͷκεʹ. ταύτας εἰς ζʹ· ζʹ ϡʹ ͵ϛτʹ· ζʹ πʹ γίνονται φξʹ· ζ θʹ γίνονται ξγʹ· λοιπὸν δὲ δύο. ταύταις πρόσθες γʹ τὰς πρὸ τῶν φωστήρων καὶ ιαʹ τὰς ἀπὸ καʹ μαρτίου καὶ ιβʹ ἀπριλίου· γίνονται κηʹ· ἔκβα ζʹ γʹ· γίνονται καʹ· λοιπὸν ζʹ. ἔφθασεν οὖν ἡ ιδʹ κατὰ τὸ παρὸν ἔτος ἐν ἡμέρᾳ σαββάτου.

C Τούτῳ τῷ δευτέρῳ ἔτει τῆς εἰς οὐρανοὺς ἀναλήψεως τοῦ κυρίου Φίλιππος ὁ ἀπόστολος τὸν εὐνοῦχον Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων ἀπαρχὴν τῆς τῶν ἐθνῶν κλήσεως τῷ τοῦ Χριστοῦ κηρύγματι ὑπηγάγετο.

Τῷ αὐτῷ ἔτει πρῶτος τῶν κατὰ τὴν Παλαιστίνην Καισάρειαν Κορνήλιος σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ δι' ἐπιφανείας θείας, ὑπουργίᾳ δὲ Πέτρου τοῦ ἀποστόλου, τὴν εἰς Χριστὸν πίστιν κατεδέξατο.

Ἰνδ. ϛ'. κʹ. ὑπ. Γάλβα καὶ Σύλλου.

V 184 Ἀγρίππας υἱὸς Ἡρώδου τοῦ βασιλέως κατήγορος Ἡρώ-
D δου τοῦ τετράρχου ἀφικόμενος ἐν Ῥώμῃ δεσμεῖται ὑπὸ Τιβερίου.

Ἰνδ. ζʹ. καʹ. ὑπ. Γάλλου καὶ Νοννιανοῦ.

Ἐπὶ τούτων τῶν ὑπάτων Πόντιος Πιλᾶτος περὶ τοῦ Χριστοῦ καὶ τοῦ χριστιανῶν δόγματος ἐκοινώσατο Τιβερίῳ Καίσαρι, κἀκεῖνος τῇ συγκλήτῳ Ῥώμης. τῆς δὲ μὴ προσιεμένης, Τιβέ-

12. δὲ] τε PV. 18. Χριστοῦ καὶ τοῦ om. P. 19. τῷ Τιβερίῳ P.

si et diem hebdomadis investigare velimus, annis v. MDXL. quartam addimus partem, nempe MCCCLXXXV. fiunt VI. MDCCCCXXV. quos per VII. partimur. Septies DCCCC. efficiunt VI. MCCC. septies LXXX. faciunt DLX. septies IX. reddunt LXIII. reliqua sunt II. quibus adde III. anteluminares, et illas XI. a XXI. Martii, et XII. Aprilis, fiunt XXVIII. abjice septies III. fiunt XXI. relinquuntur VII. ergo XIV. hoc anno incidit in Sabbatum.

Hoc secundo anno Domini in coeles Assumptionis, Philippus Apostolus Candacis Reginae Aethiopum Eunuchum, primitias gentium vocationis, Christi praedicationi subjecit.

Hoc eodem anno, primus in Palaestina Caesarea Cornelius cum tota sua familia, divina apparitione monitus, ac Petri Apostoli opera, fidem in Christum suscepit.

A. C. [Ol. Iph.]

34. XX. Ind. VI. Galba et Sulla Coss.

Agrippa, Herodis Regis filius, Romam profectus ad accusandum Herodem Tetrarcham, a Tiberio in vincula conjicitur.

35. XXI. Ind. VII. Gallo et Nonniano Coss. 1. 203.

His Coss. Pontius Pilatus Christianorum dogmata Tiberio Caesari, ille vere Senatui Romano communicavit. Senatu autem id non admittente, Tiberius capitis poenam in Christianorum delatores decrevit, quemadmodum Tertullianus Latinus scriptor refert.

ριος θάνατον ἠπείλησεν τοῖς χριστιανοκατηγόροις, ὡς ἱστορεῖ Τερτυλλιανὸς ὁ Ῥωμαῖος.

Ἰνδ. η΄. κβ΄. ὑπ. Αἰλιανοῦ καὶ Πλαύτου.

Τετάρτῳ ἔτει τῆς εἰς οὐρανοὺς ἀναλήψεως τοῦ κυρίου Πέτρος ὁ ἀπόστολος ἀπὸ Ἱεροσολύμων ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ τὸν λόγον τοῦ θεοῦ ἐδίδασκεν, καὶ τὴν χειροτονίαν τῆς ἐπισκοπῆς δεξάμενος ἐκεῖσε ἑαυτὸν ἐνεθρόνισεν, πεισθεὶς τοῖς ἀπὸ Ἰουδαίων γενομένοις χριστιανοῖς· καὶ τοὺς ἐξ ἐθνῶν πιστοὺς οὐκ ἐδέξατο οὐδὲ ἠγάπα, ἀλλ' οὕτως ἐάσας αὐτοὺς ἐξῆλθεν ἐκεῖθεν. P 230

σδ΄ Ὀλυμπιάς. R 544

Ὁ βασιλεὺς Τιβέριος τελευτᾷ ἰδίῳ θανάτῳ ἐν τῷ παλατίῳ Ῥώμης, ἄπαις καὶ ἀγύναιος, ὢν ἐτῶν ο΄.

Ῥωμαίων τέταρτος ἐβασίλευσεν Γάϊος Γάλλος Καῖσαρ ἔτη δ΄. B

ὁμοῦ ͵εφμη΄.

Ἰνδ. θ΄. α΄. ὑπ. Προκούλου καὶ Νιπρίνου.

Γάϊος Καῖσαρ ἅμα ἐβασίλευσεν, Ἡρώδην ἐξώρισεν διὰ Ἡρωδιάδα, ὥς φησιν Ἰώσηππος, καὶ Ἀγρίππαν λύσας τῶν δεσμῶν βασιλέα τῶν Ἰουδαίων κατέστησεν. οὗτός ἐστιν Ἡρώδης ὁ Ἰάκωβον ἀνελών, ὁ εἰς τὰς Πράξεις λαλούμενος, ὁ σκωληκόβρωτος γεγονώς· ὅστις ἐβασίλευσεν ἔτη ζ΄, Γαΐου μὲν δ΄, Κλαυ-

7. ἐνεθρονίασεν V. 9. οὐδὲ] οὔτε PV. 13. Γάλλος V, m. R, Γαλλιγόλας P. 15. Νιγρίνου P sola. 17. Ἰώσηππος] Arch. XVIII. 19. τὰς Πράξεις] XII. 1.

A. C. [Ol. Iph.] Anni a m. c.

86. XXII. Ind. VIII. Leliano et Plauto Coss. 4.

Quarto post Domini in coelos assumptionem anno, Petrus Apostolus Hierosolymis Antiochiam magnam profectus verbum Dei docuit, et Episcopatus ordinatione suscepta, a Judaeis qui Christiani effecti erant persuasus, illic semet in Thronum immisit: neque quemquam ex gentilibus qui fidem receperant aut excepit, aut amplexus est, sed illis ita dimissis, inde exivit.

CCIV. Olympias.

Tiberius Imperator propria morte moritur Romae in Palatio, absque liberis et caelebs, natus annos LXX.

Romanis IV. imperavit Caius Caligula Caesar annos IV. 5547.

Colliguntur anni V. MDXLVIII.

87. I. Ind. IX. Proculo et Nigrino Coss. 1. 204. 5544.

Caius Caesar simul ac imperare coepit, Herodem propter Herodiadem in exilium misit, ut ait Josephus, et Agrippam vinculis solutum Judaeorum Regem constituit: (hic est Herodes qui Jacobum interfecit, de quo loquuntur Acta Apostolorum, a pediculis consumptus) qui annos VII. regnavit, Caio

δίου δὲ τοῦ μετ' αὐτὸν Γαΐου ἔτη γ', ὡς ἀναγράφεται Ἰώσηππος.

C Ἰνδ. ι'. β'. ὑπ. Ἰουλιανοῦ καὶ Ἀσπερνάτου.

Πόντιος Πιλᾶτος ὁ ἐπὶ τοῦ σωτῆρος ποικίλαις περιπεσὼν συμφοραῖς αὐτόχειρ ἑαυτοῦ γίνεται, τῆς θείας, ὡς ἔοικε, δίκης οὐκ εἰς μακρὰν αὐτὸν μετελθούσης, ὡς ἱστοροῦσιν οἱ τὰ Ῥωμαϊκὰ περὶ αὐτοῦ καὶ Ἑλλήνων γράψαντες, οἱ καὶ τὰς Ὀλυμπιάδας ἅμα αὐτοῖς ἀναγραψάμενοι.

Ἰνδ. ια'. γ'. ὑπ. Κλαυδίου Καίσαρος καὶ Κερσιανοῦ.

Ἐπὶ τούτων τῶν ὑπάτων Πέτρος ὁ ἅγιος ἀπόστολος πρῶτος τὴν ἐκκλησίαν Ἀντιοχείας θεμελιοῖ.

D Τῷ αὐτῷ ἔτει Μάρκος ὁ εὐαγγελιστὴς Αἰγυπτίοις καὶ Ἀλεξανδρεῦσιν ἐπιδημήσας εὐαγγελίζεται τὸν Χριστοῦ λόγον, ἐκκλησίας τε πρῶτος ἐπ' αὐτῆς Ἀλεξανδρείας συνεστήσατο καὶ προέστη αὐτῶν ἔτη κβ'.

Ἰνδ. ιβ'. δ'. ὑπ. Κλαυδίου Καίσαρος τὸ β' μόνου.

Ἐπὶ τούτου τοῦ Γαΐου Φίλων ἐγνωρίζετο ὁ ἱστοριογράφος. οὗτος ἱστορεῖ τὰ κατὰ Γάϊον συμβάντα τοῖς Ἰουδαίοις.

V 185 Ἐπὶ τῶν προκειμένων ὑπάτων Γάϊος Γάλλος ἐσφάγη ἐν τῷ
P 231 παλατίῳ Ῥώμης ὑπὸ τῶν ἰδίων σπαθαρίων τῶν κουβικουλαρίων εὐνούχων κατὰ γνώμην τῆς συγκλήτου, ὢν ἐτῶν λθ'.

1. τοῦ om. P. 5. ὡς om. P. 19. Γάλλος V, m. R, Γαλλιγόλας P.

A. C. [Ol. Iph.]

quidem IV. Claudio vero post Caium imperante annos III. ut scribit Josephus.

38. II. Ind. X. Juliano et Asprenate Coss. 3.

Pontius Pilatus, sub quo Salvator passus est, variis appetitus calamitatibus, tandem sibi mortem conscivit, divina, ut videtur, vindicta non multo post illum assequente, quemadmodum de eo narrant qui Romanas et Graecas historias scripsere, ut et qui Olympiades conscripserunt.

39. III. Ind. XI. Claudio Caesare et Cersiano Coss. 2.

His Coss. Petrus Apostolus primus Ecclesiae Antiochenae fundamenta jecit.

Eodem ipso anno, Marcus Evangelista apud Aegyptios et Alexandrinos diversatus, verbum Christi annuntiat, primusque Alexandriae Ecclesias constituit, quibus praefuit annos XXII.

40. IV. Ind. XII. Claudio Caesare II. solo Cos.

Hoc Caio imperante, Philo historicus florebat. Hic res quae sub Caio Judaeis acciderunt narrat.

His praedictis Coss. Caius Caligula Romae in Palatio interfectus est a suis Protectoribus cubiculariis Eunuchis, consentiente Senatu, cum annorum esset XXXIX.

σε' Ὀλυμπιάς.

Ῥωμαίων ε' ἐβασίλευσεν Κλαύδιος ἔτη ιδ'. ὁμοῦ ‚εφξβ'. R 546

Ἰνδ. ιγ'. α'. ὑπ. Κλαυδίου Καίσαρος τὸ γ' καὶ Ἀντωνίνου.

Τούτῳ τῷ πρώτῳ ἔτει Κλαυδίου ὁ ἅγιος Στέφανος μαρτυρεῖ, καὶ ἦν Παῦλος εὐδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. οὗτος Στέφανος ὁ τῆς νέας διαθήκης πρωτομάρτυρ καὶ πρωτοδιάκονος, ὁ B τὸν μέγαν Παῦλον ἔτι ζηλωτὴν ὑπάρχοντα τοῦ νόμου φονέα ἴδιον κεκτημένος, ὁ μόνος μετὰ πάσης συναγωγῆς ἀγωνιζόμενος, ὁ τὸν ἀγωνοθέτην πρὸς τὴν θέαν διαναστήσας, οὗτος ὁ θεωρῶν τοὺς οὐρανοὺς διηνοιγμένους καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἑστῶτα ἐκ δεξιῶν τοῦ θεοῦ. πάσης γὰρ τῆς θείας γραφῆς καθήμενον λεγούσης, οὗτος ἑστῶτα εἶδεν· ἡ γὰρ σφοδρότης τοῦ ἀγῶνος ἐπὶ τὴν θέαν τὸν ἀγωνοθέτην ἐξανέστησεν, ὅθεν καὶ παρ' αὐτοῦ προτρεπόμενος ἰέναι εἰς ἐκείνην τὴν δόξαν ηὔχετο τοῖς αὐτὸν λιθάζουσι λέγων, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην, ἀλλὰ σὺ αὐτὸς δέξαι τὸ πνεῦμά μου.

Ἰδοὺ καὶ οὗτος τὰ αὐτὰ τοῖς ἄλλοις καὶ εἶδεν καὶ κηρύττει, C ὡς εἰς τὸν οὐρανόν ἐστιν ὁ Χριστὸς ὁ τῆς δευτέρας καταστάσεως ἀρχηγός,· ὃν παρακαλεῖ καὶ αὐτὸν αὐτόθι δέξασθαι.

Ἰνδ. ιδ'. β'. ὑπ. Κλαυδίου Καίσαρος τὸ δ' καὶ Λάργου.

3. τὸ γ' om. P. 6. ὁ prius om. P. 15. στήσεις P. Conf. Act. VII. 60. 17. ἴδεν PV.

A. C. [Ol. Iph.] Anni a m. c.

CCV. Olympias.

Romanis v. imperavit Claudius annis XIV. Colliguntur anni v. MDLXII.

41. I. Ind. XIII. Claudio Caesare et Antonino Coss. 1. 205. 5546.

Hoc primo Claudii anno, Sanctus Stephanus martyrio vitam finivit, cujus neci consensit Paulus: ille scilicet Stephanus, primus Novi Testamenti Martyr, primusque Diaconus, qui Paulum adhuc pro lege acrius propugnantem, interfectorem suum habuit, et solus cum universa Synagoga congressus, ad spectaculum agonothetam seu munerarium excitavit: ille, inquam, qui vidit coelos apertos, et Filium hominis stantem a dextris Dei. Cum enim ubique sacra Scriptura sedentem exhibeat, hic stantem vidit: certaminis quippe vehementia agonothetam ad spectaculum erexit, unde et ab illo incitatus, ut gloriam istam assequeretur, pro iis a quibus lapidibus impetebatur, deprecatus est in haec verba: *Domine, ne statuas illis hoc peccatum, sed tu ipse accipe spiritum meum.*

En et hic eadem, quae alii, vidit et praedicat, Christum scilicet secundi status principem, quem rogat uti eodem loco ipse etiam recipiatur.

42. II. Ind. XIV. Claudio Caesare IV. et Largo Coss. 2.

Τούτῳ τῷ ἔτει Παῦλος τὴν ἐκκλησίαν διώκων πηροῦται ἐν τῇ ὁδῷ, καὶ ἔρχεται χειραγωγούμενος εἰς Δαμασκόν, καὶ ἐκεῖ ἀναβλέπει καὶ βαπτίζεται ὑπὸ Ἀνανίου, καθὼς ταῖς Πράξεσιν
D ἐμφέρεται. καὶ ἀπὸ Δαμασκοῦ ἀπῆλθεν εἰς Ἀραβίαν, καὶ πάλιν ὑπέστρεψεν εἰς Δαμασκόν, ὡς γράφει Γαλάταις.

Ἰνδ. ιε΄. γ΄. ὑπ. Κλαυδίου Καίσαρος τὸ ε΄ καὶ Βιτελλίου.

Τούτῳ τῷ ἔτει Παῦλος φυγὼν ἀπὸ Δαμασκοῦ διὰ τοῦ τείχους ἀνῆλθεν εἰς Ἱεροσόλυμα, καὶ ταύτην τὴν ἀνάβασιν γράφει Γαλάταις. ἔπειτα μετὰ τρία ἔτη ἀνῆλθεν εἰς Ἱεροσόλυμα
R 548 ἱστορῆσαι Πέτρον. ταῦτα τὰ τρία ἔτη ἱστορεῖ, οὐχὶ τοὺς ἰδίους χρόνους ἀριθμῶν· ἀκμὴν γὰρ εἰς ἀποστολὴν κληθεὶς οὐκ ἦν οὔτε
P 232 αὐτὸς οὔτε Βαρνάβας, ἀλλ' οὔτε Ἡρώδης οὔπω ἦν ἀποθανών, ὡς τὰ κατὰ μέρος τῶν Πράξεων δηλοῖ. Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν ἤγαγεν πρὸς τοὺς ἀποστόλους, καὶ οὐχ εὗρεν, εἰ μὴ Πέτρον καὶ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου, ὡς γράφει Γαλάταις, καὶ διηγήσατο αὐτοῖς πῶς ἐν τῇ ὁδῷ εἶδεν τὸν κύριον. ἰδοὺ δῆλόν ἐστιν ὅτι ταῦτα τὰ τρία ἔτη ἱστορεῖ, καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ ἐπαῤῥησιάσατο ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ, ὡς περιέχουσιν αἱ Πράξεις. ἐπιγνόντες δὲ οἱ ἀδελφοὶ τὴν ἐπιβουλὴν τῶν Ἰουδαίων, ὅτι ἀνελεῖν αὐτὸν θέλουσιν, ἐξέπεμψαν αὐτὸν εἰς Ταρσόν, καὶ εὑρὼν αὐτὸν Βαρνάβας φέρει

3. ταῖς Πράξεσιν] IX. 5. Γαλάταις] I. 13. s. 9. Γαλάταις] I. 17. 10. ἱστορίσαι P. 16. Γαλάταις] I. 19. ib. ἴδεν PV.

A. C. [Ol. Iph.]

Hoc anno, Paulus dum Ecclesiam persequitur, in via caecatur, et ductus manu venit Damascum, ibique visum recipit, et baptizatur ab Anania, quemadmodum in Actis Apostolorum refertur. Damasco in Arabiam profectus, rursum Damascum reversus est, uti ad Galatas scribit.

43. III. Ind. XV. Claudio Caesare V. et Vitellio Coss. 3.

Hoc anno Paulus Damasco per muros fugiens, Hierosolyma venit, hancque suam profectionem describit in Epistola ad Galatas. Deinde post triennium petiit Hierosolyma, ut videret Petrum. Hujus triennii meminit, quod tamen in annis suis minime putat. Neque enim ea tempestate ad Apostolatum ipse vocatus erat, ut nec Barnabas: sed et Herodes nondum erat mortuus, uti sigillatim Acta docent. Barnabas autem illum deduxit ad Apostolos, ex quibus neminem invenit praeter Petrum et Jacobum fratrem Domini, ut ad Galatas scribit: iisque narravit quomodo Dominum in via viderit, (unde patet, quod hos tres annos recenset) et ut cum illo collocutus sit, et quemadmodum Damasci in nomine Jesu praedicare aggressus fuerit, ut in Actis continetur. Fratres vero perceptis Judaeorum insidiis, qui eum de medio tollere decre-

εἰς Ἀντιόχειαν, καὶ ποιοῦσι τὸν τρίτον χρόνον Κλαυδίου ἐν Ἀν- V 186 τιοχείᾳ. φασὶ γὰρ αἱ Πράξεις, Ἐξῆλθεν Βαρνάβας ἀναζητῆσαι B Σαῦλον, καὶ εὑρὼν ἤγαγεν εἰς Ἀντιόχειαν. ἐγένετο δὲ αὐτὸν ἐκεῖ ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ. ὡς οὖν προέφην, ὅλον τὸν τρίτον χρόνον πληροῦσιν εἰς Ἀντιόχειαν· εἰς τοῦτον γὰρ τὸν τρίτον χρόνον Ἄγαβος τὸν λιμὸν προφητεύων, ὥς φασιν αἱ Πράξεις. ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱεροσολύμων προφῆται εἰς Ἀντιόχειαν. ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν, ὀνόματι Ἄγαβος, ἐσήμαινε διὰ τοῦ πνεύματος λιμὸν μέγαν, ἥτις ἐγένετο ἐπὶ Κλαυδίου· καὶ εὐθέως ἐπιφέρει, Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν Ἡρώδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας C τῶν ἀπὸ τῆς ἐκκλησίας· καὶ ἀνεῖλεν Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ, καὶ Πέτρον ἔβαλεν ἐν φυλακῇ. καὶ ταῦτα ποιήσας θνήσκει εὐθέως Ἡρώδης σκωληκόβρωτος γενόμενος, Ἰωσήππου λέγοντος ἑπτὰ χρόνους βασιλεῦσαι τὸν Ἡρώδην.

Ἰνδ. α'. δ'. ὑπ. Κρίσπου καὶ Ταύρου.

Τούτῳ τῷ ἔτει ἐκλέγονται Βαρνάβας καὶ Παῦλος εἰς ἀποστολήν, καθὼς αἱ Πράξεις περιέχουσιν.

σς' Ὀλυμπιάς.

Ἰνδ. β'. ε'. ὑπ. Οὐεννικίου καὶ Κορβίνου.

2. αἱ Πράξεις] XI. 25. 6. (ἦν) τὸν P sola. ibid. φησιν PV. 7. δὲ om. P. 10. δὲ om. P. 11. ἐπέβαλλεν R. 12. τῶν om. P. 16. Κράσσου P. 18. αἱ Πράξεις] IV. 36. 19. Ὀλυμπιάδος V.

A. C. [Ol. Iph.] Anni a m. c.

verant, illum Tarsum misere, ibique inventum Barnabas deduxit Antiochiam, ubi tertio Claudii anno morati sunt. Ita enim habent Acta: *Exivit Barnabas ut quaereret Saulum, et cum eum invenisset, deduxit Antiochiam. Factum est autem ut ibi totum annum in Ecclesia versarentur.* Ut igitur praefatus sum, totum tertium annum Antiochiae exegere. Hoc enim tertio anno Agabus famem futuram praedixit, ut est in Actis: *His diebus descenderunt Hierosolymis Prophetae Antiochiam. Surgens autem unus ex iis nomine Agabus, significavit per spiritum magnam famem, quae sub Claudio fuit.* Nec multo post: *Illo tempore injecit Herodes manus, ut quosdam affligeret de Ecclesia, et interfecit Jacobum fratrem Joannis gladio, et Petrum misit in custodiam.* Quae cum fecisset Herodes, statim moritur, a vermibus consumptus, scribente Josepho eum annis VII. regnasse.

44. IV. Ind. I. Crasso et Tauro Coss. 4. 5551.

Hoc anno Barnabas et Paulus ad Apostolatum eliguntur, ut in Actis continetur.

CCVI. Olympias.

45. V. Ind. II. Vinnicio et Corvino Coss. 1. 206.

D Τούτῳ τῷ πέμπτῳ ἔτει Κλαυδίου προχειροτονηθεὶς Παῦλος
R 550 εἰσῆλθεν εἰς Ἀντιόχειαν τὴν μεγάλην, καὶ μαθὼν περὶ τοῦ ἁγίου Πέτρου πανταχοῦ τὸ σκάνδαλον περιεῖλεν, καὶ πάντας ἐδέξατο καὶ ἠγάπα, προτρεψάμενος πάντας, καθὼς συνεγράψαντο τὰ περὶ τούτου Κλήμης καὶ Τατιανὸς οἱ χρονογράφοι. εἰσῆλθεν δὲ καὶ εἰς Κύπρον καὶ εἰς Σελεύκειαν καὶ εἰς ἄλλας πόλεις, διδάσκων τὸν λόγον τοῦ θεοῦ.

Ἰνδ. γ΄. ϛ΄. ὑπ. Ἀσιατικοῦ καὶ Σιλάνου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἀνῆλθεν πάλιν εἰς Ἱεροσόλυμα
P 233 Παῦλος, ὅθεν γράφει Γαλάταις περὶ ταύτης τῆς ἀναβάσεως οὕτως· „διὰ ιδ΄ ἐτῶν πάλιν ἀνῆλθον εἰς Ἱεροσόλυμα.“ καὶ ὃ εἶπεν Πάλιν, δηλονότι ἑτέρα ἐστὶν ἀνάβασις αὕτη· τῷ εἰπεῖν αὐτὸν Διὰ ιδ΄ ἐτῶν δοκεῖ μοι τοὺς χρόνους τῶν ἀποστόλων τοὺς ἀπὸ τῆς ἀναλήψεως ἀριθμεῖν αὐτόν. ἀπὸ γὰρ τῆς ἀναλήψεως τοῦ κυρίου ἕως ταύτης τῆς ἀναβάσεως πληροῦνται τῶν ἀποστόλων ἔτη ιδ΄, μῆνες ι΄. καὶ εἰ μὴ τοῦτο δῶμεν, εὑρεθήσεται ὁ χρόνος ἀφ᾽ οὗ ἐβαπτίσθη καὶ ἀνέβλεψεν, ὡς περιέχουσιν αἱ Πράξεις, ἔτη δ΄. καὶ τοῦτο οὐ μόνον καθὼς αἱ Πράξεις φέρουσιν, ἀλλὰ καὶ Ἰώσηππος, λέγων τρία ἔτη Κλαυδίου ζῆσαι τὸν Ἡρώδην,
B καὶ εὐθέως μετὰ τὴν τελευτὴν Ἡρώδου κληθῆναι Παῦλον καὶ Βαρνάβαν εἰς ἀποστολήν, τουτέστιν τετάρτου χρόνου Κλαυδίου,

4. συνεγράψατο P. 10. οὕτως] Η. 1. 11. εἶπεν] εἰπὼν V. 19. Ἰώσηπος P.

A. C. [Ol. Iph.]

Anni a m. c. Quinto hoc anno Claudii, Paulus qui antea ordinatus fuerat Apostolus, ingressus est Antiochiam magnam, et cum didicisset quae Petrus egerat, ubique scandalum sustulit; omnesque admisit, eos complexus ac adhortatus, quemadmodum de illo scribunt Clemens et Tatianus Chronographi. Venit autem et in Cyprum, et Seleuciam, et in alias civitates, praedicans verbum Dei.

5553. 46. vi. Ind. iii. Asiatico et Silano Coss. 2.

His Coss. Paulus venit rursum Hierosolyma: unde ad Galatas de hac profectione ita scribit: *Post xiv. annos iterum ascendi Hierosolymam.* Quod enim dixit, *iterum*, patet alteram illius profectionem designari. Cum vero ait, *post xiv. annos*, videtur mihi, annos Apostolorum a Christi Assumptione ipsum numerare. Ab assumptione enim Domini, usque ad hanc profectionem, complentur Apostolorum anni xiv. et menses x. Quod si hoc non demus, invenietur tempus a quo baptizatus est, et visum recepit, ut Acta continent, annorum iv. Et hoc non solum ex Actis colligitur, sed etiam ex Josepho, scribente ad tertium Claudii annum vitam produxisse Herodem: statimque post mortem Herodis, ad Apostolatum

ὡς αἱ Πράξεις δηλοῦσιν. καὶ οὐ ταῦτα μόνον πείσουσίν τινα, ἀλλὰ καὶ εὑρεθήσεται ὅλος ὁ χρόνος τῆς διδασκαλίας Παύλου ἀφ' οὗ εἰσῆλθεν εἰς ἀποστολὴν ἔτη θ' ἕως οὗ ἐβλήθη εἰς φυλακὴν ὑπὸ Φήλικος, μέλλων εἰς Ῥώμην ἐπὶ Νέρωνος ἐκπέμπεσθαι, ὡς τὰ ἐφεξῆς τῶν Πράξεων δηλοῖ καὶ οἱ χρόνοι τῆς βασιλείας Κλαυδίου. πάλιν μετέπειτα ἐλθὼν εἰς Ἱεροσόλυμα μετὰ Βαρνάβα, καὶ εὑρὼν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους ἅμα Ἰακώβῳ τῷ ἀδελφῷ τοῦ κυρίου, γράφουσιν ἐπιστολὴν οἱ ἀπόστολοι C V 187
εἰς Ἀντιόχειαν τῆς Συρίας, θεμελιοῦντες τὴν αὐτῶν ἐκκλησίαν, καὶ διακονοῦσι τὴν ἐπιστολὴν εἰς Ἀντιόχειαν αὐτὸς Παῦλος καὶ Βαρνάβας, ὡς δηλοῦσιν αἱ Πράξεις. ἐκ τούτου δείκνυται ὅτι καὶ τὰς καθολικὰς αὐτῶν οἱ ἀπόστολοι τότε γράφουσιν πρὸ τῆς διασπορᾶς αὐτῶν, εἰ καὶ Πέτρος μόνος ἀπὸ Ῥώμης γράφει, ὥς R 552
τινες ἱστοροῦσιν, ἀλλὰ καὶ Ματθαῖος πρῶτος ἐκεῖ εἰς τὰ Ἱεροσόλυμα γράφει τὸ εὐαγγέλιον, ὡς λέγει ὁ Χρυσόστομος. οἶμαι δὲ * * *

6. *Κλαυδίου* om. P. 14. τὰ om. P. 16. *Quaternio hic desideratur* notatur de V: *ἐλλιπὲς ἦν ἓν φύλλον* m. R.

A. C. [Ol. Iph.]

vocatos Barnabam et Paulum, hoc est anno Claudii quarto, ut docent Acta, sed totum pariter Pauli praedicationis tempus deprehenditur, ex quo ad Apostolatum venit, annorum IX. usque ad annum quo a Felice in carcerem conjectus est, cum sub Nerone Romam esset mittendus, ut deinceps Acta enarrant, annique imperii (Claudii) rursum evincunt. Postea veniens Hierosolyma cum Barnaba, ibique invento Petro, caeterisque Apostolis, cum Jacobo fratre Domini, epistolam scribunt Apostoli Antiochiam Syriae, ut Ecclesiae suae fundamenta jacerent, quam Paulus ipse et Barnabas Antiochiam deferunt, ut habent Acta. Ex hoc plane colligitur Apostolos Catholicas suas Epistolas scripsisse, antequam ii dispergerentur, quantumvis Petrus, ut quidam volunt, solus ipse Roma scripserit. Quin et Matthaeus primus ibi Hierosolymis, ut ait Chrysostomus, Evangelium scripsit. Arbitror autem . . .

47.	VII.	Ind. IV.	Claudio IV. et Vitellio III. Coss.	3.	
48.	VIII.	Ind. V.	Vitellio et Publicola Coss.	4.	
49.	IX.	Ind. VI.	Veriano et Gallo Coss.	1.	207.
			CCVII. Olympias.		
50.	X.	Ind. VII.	Vetere et Nerviaiano Coss.	2.	
51.	XI.	Ind. VIII.	Claudio et Orfito Coss.	3.	
52.	XII.	Ind. IX.	Syllá et Catone Coss.	4.	
53.	XIII.	Ind. X.	Silano et Antonino Coss.	1.	208.
			CCVIII. Olympias.		
54.	XIV.	Ind. XI.	Marcello et Aviola Coss.	2.	

Hic una pagina et 20. Consulatus, quos supplevimus ex Idatio, desiderantur in Cod. MS. Vaticano.

Romanis VI. imperavit Nero annos XIII. menses VII. dies XXVIII.

P 234 B * * * καὶ ἀποστείλῃ τὸν προκεχειρισμένον ὑμῖν Ἰησοῦν Χριστόν, ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων, ὧν ἐλάλησεν ὁ θεὸς διὰ στόματος πάντων τῶν ἁγίων ἀπ' αἰῶνος αὐτοῦ προφητῶν. καὶ μέμνηται τῆς χρήσεως Μωϋσέως τὸ Προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεός· καὶ πάλιν ἐπιφέρει, Καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς, ὅσοι ἐλάλησαν καὶ κατήγγειλαν τὰς ἡμέρας ταύτας. ὑμεῖς ἐστε υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης ἧς διέθετο ὁ θεὸς πρὸς
C τοὺς πατέρας ὑμῶν, λέγων πρὸς Ἀβραάμ, Καὶ ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς. ὑμῖν πρῶτον ὁ θεὸς ἀναστήσας τὸν παῖδα αὐτοῦ ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν ὑμῶν. τούτοις πᾶσι μαρτυρεῖ καὶ ὁ μακαρίτης Πέτρος, ὥσπερ καὶ οἱ εὐαγγε-

1. καὶ ἀποστείλῃ] Act. III. 20. 4. Μωϋσέως] Deut. XVIII. 15. 5. τὸ] ὅτι P sola. ib. πάλιν] 24. 12. ἀπὸ] ὑμῶν ἀπὸ P. 13. καὶ om. P. ib. μακάριος P. Conf. p. 88. C, D, 90. A, 295. D, 297. B. Fallitur de usu vocabuli μακαρίτης Bentleius in Prooem. Resp. ad Boyl. p. 159. 160. Lips.

A. C.				[Ol. Iph.]
56.	I.	Ind. XII.	Nerone et Vetere Coss.	3.
56.	II.	Ind. XIII.	Saturnino et Scipione Coss.	4.
57.	III.	Ind. XIV.	Nerone II. et Pisone Coss.	1. 209.
			CCIX. Olympias.	
58.	IV.	Ind. XV.	Nerone III. et Messala Coss.	2.
59.	V.	Ind. I.	Aproniano et Capitone Coss.	3.
60.	VI.	Ind. II.	Nerone IV. et Lentulo Coss.	4.
61.	VII.	Ind. III.	Lucio et Turpiliano Coss.	1. 210.
			CCX. Olympias.	
62.	VIII.	Ind. IV.	Mario et Gallo Coss.	2.
63.	IX.	Ind. V.	Rufo et Regulo Coss.	3.
64.	X.	Ind. VI.	Crasso et Basso Coss.	4.
65.	XI.	Ind. VII.	Helva et Vestino Coss.	1. 211.
			CCXI. Olympias.	
66.	XII.	Ind. VIII.	Telesino et Rufo Coss.	2.

. . . et miserit eum, qui praeordinatus est vobis, Jesum Christum, quem oportet quidem coelum suscipere usque in tempora restitutionis omnium, de quo locutus est Deus per os sanctorum suorum a saeculo Prophetarum. Meminit enim dicti Mosaici illius: *Quoniam Prophetam suscitabit vobis Dominus Deus.* Et rursum infert: *Et omnes prophetae a Samuel et deinceps, qui locuti sunt, et annuntiaverunt dies istos. Vos estis filii Prophetarum, et testamenti, quod disposuit Deus ad patres vestros, dicens ad Abraham, Et in semine tuo benedicentur omnes nationes terrae. Vobis primum Deus suscitans filium suum misit eum benedicentem vobis, ut convertat se unusquisque vestrum a nequitia sua.* Omnibus his testatur Beatus Petrus, uti et Evangelistae et omnes Prophetae haec omnia

λισται, καὶ ὅτι πάντες οἱ προφῆται προκατήγγειλαν πάντα ταῦτα,
ὅτι ὁ θεὸς δευτέραν τινὰ κατάστασιν καινὴν πεποίηκεν καὶ ποιεῖ,
ἣν καὶ προκατήγγειλεν διὰ στόματος πάντων τῶν προφητῶν. καὶ
οὔτε πρὸ ταύτης τῆς καταστάσεως εἶπεν ἑτέραν εἶναι οὔτε μετὰ
τὴν μέλλουσαν ἑτέραν ἀπεφήνατο, ἀλλὰ μετὰ πάντων τῶν προ-
φητῶν καὶ ἀποστόλων δύο μόνον ἐξεῖπεν, ταύτην καὶ τὴν μέλ- D
λουσαν.

Εἰς Παῦλον τὸν ἀπόστολον. V 188

Οὗτος ὁ μέγας Παῦλος ὁ ἀπόστολος, ὁ τῆς οὐρανίου φάλαγ-
γος ταξιάρχης, ὁ ἐν ἑαυτῷ ἔχων τὸν Χριστὸν λαλοῦντα, ὁ τὰ
στίγματα τοῦ Χριστοῦ ἐν τῷ σώματι περιφέρων, ὁ μέγας διδά- R 554
σκαλος τῆς ἐκκλησίας, ὁ μυρίους θανάτους καθ' ἑκάστην ὑπὲρ
τῆς ἐκκλησίας ὑπομένων, ὁ ἐν κυρίῳ καυχώμενος καὶ ταῖς ἰδίαις
ἀσθενείαις, ὁ τὴν χάριν τοῦ Χριστοῦ ἐν ἑαυτῷ βρύουσαν ἔχων, P 285
ὁ γλώσσαις λαλῶν πᾶσι τοῖς ἔθνεσιν, ὁ ποτὲ διώκτης, νῦν δὲ
διωκόμενος, ὁ ποτὲ ἁμαρτωλός, νῦν δὲ ἠλεημένος, ὁ ἕως τρί-
του οὐρανοῦ ἁρπαγεὶς καὶ πάλιν εἰς τὸν παράδεισον, ὁ τῶν ἀῤ-
ῥήτων ῥημάτων ἀκουστής, ὁ τῶν πνευματικῶν χαρισμάτων κε-
κριμένος δικαστής, ὁ μέγας κανονάρχης καὶ ὑπερβαίνων τοὺς
λοιποὺς διδασκάλους τῆς ἐκκλησίας Παῦλος, οὗ ὁ ἀσπασμὸς ἐν
πάσαις ταῖς ἐπιστολαῖς αὐτοῦ ὡς ἐν τάξει σημείου, ἡ χάρις ἐστὶν

1. ὅτι πάντες οἱ] οἱ πάντες P. 6. καὶ τὴν] δὲ καὶ τὴν P. 15. γλώσσαις P. 17. τὸν om. P. 19. κανὼν ἀρχῆς RV. 20. ὁ om. P.

praedixerunt, quod Deus secundum quendam statum novum fecerit, et facit, quem per os omnium Prophetarum praenunciavit. Neque ante hunc statum, alium futurum esse, neque post futurum fore alium declaravit, sed cum omnibus Prophetis et Apostolis hos duos solos pronunciavit, hunc inquam jam praesentem, et post hunc, illum futurum.

De Sancto Paulo Apostolo.

Iste est ille magnus Apostolus Paulus, coelestium copiarum ductor, qui in seipso Christum habet loquentem, qui stigmata Christi in corpore suo circumfert, magnus Ecclesiae doctor, qui infinitas mortes quotidie pro Ecclesia sustinet, qui gloriatur in Domino et in infirmitatibus suis, qui gratiam Christi in se effervescentem habet, qui omnium gentium linguis loquitur, quondam persecutor, nunc autem persecutionem passus, quondam peccator, nunc autem misericordiam consecutus, raptus ad tertium coelum, et rursum in paradisum, verborum arcanorum auditor, spiritualium gratiarum designatus judex, magnus Canonarcha, seu Praecentor, ac superans reliquos Ecclesiae doctores. Paulus, cujus salutatio in omnibus Epistolis velut signi loco, Gratia Domini est. Hic semper in omnibus Epistolis, veluti jam altero vitae beatae statu frueretur, ex-

τοῦ κυρίου, οὗτος καθόλου ἐν πάσαις ταῖς ἑαυτοῦ ἐπιστολαῖς, ὡς ἤδη γενόμενος ἐν τῇ δευτέρᾳ καταστάσει, γεγηθὼς καὶ πεποιθὼς διατελεῖ, συνήγειρεν καὶ συνεκάθισεν, φάσκων, Ἐν τοῖς B ἐπουρανίοις καὶ τῇ ἐλπίδι ἐσώθημεν, καὶ ἄλλα μυρία ἃ νῦν καταλέγειν οὐκ εὐχερές, ἐνίων δὲ μνημονεύσομεν, ἵνα μὴ τὸν λόγον μηκύνωμεν. λέγει τοίνυν ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ἐπιστολῇ οὕτως. „εἰ ἐν τῇ ζωῇ ταύτῃ ἐν Χριστῷ ἠλπικότες ἐσμὲν μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν.“ ἀλλὰ τί, Παῦλε, μετὰ τὴν ἐνταῦθα ζωὴν ποίαν ἄλλην ἐλπίδα ἐλπίζωμεν; Ναί, φησίν, ἔστι τις κρείττων ζωή, ἰσχυρὰ καὶ οὐράνιος, μεθ' ὅρκου παρὰ θεοῦ ἐπαγγελλομένη. φησὶ γάρ, Ἐν ᾧ περισσότερον βουλόμενος ὁ θεὸς ἐνδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ ἐμεσίτευσεν ὅρκῳ, ἵνα διὰ δύο C πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι τὸν θεόν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος, ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.

Καὶ πάλιν, Γινώσκοντες ἔχειν ὑμᾶς κρείττονα ὕπαρξιν καὶ μένουσαν. καὶ πάλιν, Διὸ βασιλείαν ἀσάλευτον παραλαμβά-

1. ταῖς ἑαυτοῦ] αὐτοῦ P. 3. φάσκων] Ephes. II. 6. 4. ἐσόθημεν P. 5. μνημονεύσωμεν PV. 6. πρώτῃ] XV. 19. 8. τί] τὸ P. 10. κρείττω V. 11. φησὶ] Hebr. VI. 17. 12. ἐπιδεῖξαι P. 20. πάλιν] X. 34. 21. πάλιν] XII. 28.

ultabundus et certus agit, et veluti (cum Christo) consurrexerit ac consederit, dicens: *In coelestibus spei dati sumus;* et alia infinita, quae nunc commemorare haud promptum est. Quorundam tamen mentionem faciemus, ne sermonem protrahamus. Scribit ergo in Epistola I. ad Corinthios in haec verba: *Si in vita hac sperantes in Christo sumus tantum, miserabiliores omnibus hominibus sumus.* Sedenim, Paule, post hanc vitam, quae spes alia speranda est? *Sane*, inquit, *melior vita restat, firma et coelestis, jurejurando nobis a Deo promissa. Dicit enim: In quo abundantius volens Deus ostendere haeredibus promissionis immobilitatem consilii sui, interposuit jusjurandum, ut per duas res immobiles, in quibus impossibile est mentiri Deum, fortem consolationem habeamus, qui confugimus, ad tenendam propositam spem, quam sicut ancoram habemus animae, tutamque ac firmam et ingredientem in interius velaminis, ubi praecursor pro nobis introivit Jesus secundum ordinem Melchisedec, Pontifex factus in aeternum.*

Et rursum: *Scientes habere vos meliorem substantiam et permanentem.* Et iterum: *Quapropter regnum immobile accipientes.* Et rursum:

νοντες. καὶ πάλιν, Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ
τὴν μέλλουσαν ἐπιζητοῦμεν. καὶ πάλιν, Παράγει γὰρ τὸ σχῆμα D R 556
τοῦ κόσμου τούτου. καὶ πάλιν, Ἡ δὲ εὐσέβεια πρὸς πάν-
τα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς
μελλούσης. καὶ πάλιν, Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὔπω λογί-
ζομαι κατειληφέναι, ἓν δέ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος,
τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω εἰς τὸ βρα-
βεῖον τῆς ἄνω κλήσεως τοῦ θεοῦ ἐν Χριστῷ Ἰησοῦ. ὅσοι οὖν
τέλειοι, τοῦτο φρονῶμεν. καὶ πάλιν, Ἡμῶν δὲ τὸ πολίτευμα
ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα κύριον
Ἰησοῦν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ
γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. καὶ πά-
λιν, Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δό- P 236
ξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ
πάλιν, Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ V 189
Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος, τὰ ἄνω φρονεῖτε,
μὴ τὰ ἐπὶ τῆς γῆς. καὶ πάλιν, Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ
κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν
τοῦ κυρίου, οὐ μὴ φθάσομεν τοὺς κοιμηθέντας, ὅτι αὐτὸς ὁ
κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι θεοῦ
καταβήσεται ἀπὸ οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἐγερθήσον-

1. πάλιν] Hebr. XIII. 14. 2. καὶ — τούτου om. P. ibid. πάλιν] I. Cor. VII. 31. 3. πάλιν] I. Timoth. IV. 8. 5. πάλιν] Philip. III. 13. 7. διώκων R. 9. πάλιν] 20. 12. αὐτῷ R. ib. τῷ σώματι om. P, addit m. R. ib. πάλιν] Tit. II. 13. 15. πάλιν] Coloss. III. 1. 17. πάλιν] I. Thessalon. IV. 15. 19. ὁ om. P.

Non enim habemus hic manentem civitatem, sed futuram inquirimus. Rursum: *Pietas ad omnia utilis est, quae promissionem habet et praesentis vitae et futurae.* Rursum: *Fratres, ego meipsum non arbitror comprehendisse, unum autem, quae quidem retro obliviscens, ad ea vero quae sunt priora extentus, ad scopum destinatum persequor ad bravium supernae vocationis Dei in Christo Jesu. Quicunque ergo sumus perfecti, hoc sentiamus.* Et rursum: *Nostra autem conversatio in coelis est, unde etiam Salvatorem expectamus Dominum Jesum, qui reformabit corpus humilitatis nostrae configuratum corpori claritatis suae.* Et iterum: *Expectantes beatam spem, et revelationem gloriae magni Dei, et Salvatoris nostri Jesu Christi.* Et rursum: *Si ergo consurrexistis cum Christo, quae sursum sunt quaerite, ubi Christus est in dextera Dei sedens, quae sursum sunt sapite, non quae super terram.* Et alio loco: *Hoc enim vobis dicimus in verbo Domini, quod nos qui vivimus, qui residui sumus in adventum Domini, non praeveniemus eos qui dormierunt. Quoniam ipse Dominus, in jussu, in voce Archangeli, in tuba Dei descendet de coelo, et qui mortui in Christo sunt, exurgent primum, deinde nos, qui vivimus,*

ται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα αὐτοῖς
B ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα· ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. καὶ πάλιν, οἱ γὰρ τοιαῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσιν. καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευσαν, ἀφ' ἧς ἐξέβησαν, εἶχον ἂν καιρὸν ἀνακάμψαι, νῦν δὲ κρείττονος ὀρέγονται, τουτέστιν ἐπουρανίου. διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ θεὸς θεὸς ἐπικαλεῖσθαι αὐτῶν· ἡτοίμασε γὰρ αὐτοῖς πόλιν. καὶ πάλιν, Ἐξεδέχοντο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός. καὶ πάλιν, Τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθείας ἣν ἔπηξεν ὁ
C κύριος καὶ οὐκ ἄνθρωπος. ἀλλὰ καὶ ἐν ταῖς Πράξεσιν, ὅτε τῷ Φήστῳ καὶ τῷ Ἀγρίππᾳ ἐπὶ βήματος διελέγετο, ταῦτά φησι·
R 558 Περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ· τί; ἄπιστον κρίνεται παρ' ὑμῖν, εἰ ὁ θεὸς νεκροὺς ἐγείρει; καὶ πάλιν, Ἕνεκα τούτου Ἰουδαῖοι συλλαβόμενοι ὄντα ἐν τῷ ἱερῷ ἐπειρῶντο διαχειρίσασθαι. ἐπικουρίας οὖν τυχὼν τῆς ἀπὸ τοῦ θεοῦ ἄχρι τῆς ὥρας ταύτης ἕστηκα μαρτυρόμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται ἐλάλησαν μελλόντων γίνεσθαι καὶ Μωϋσῆς, εἰ παθητὸς ὁ Χριστός, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν τῷ λαῷ καὶ τοῖς ἔθνεσιν.

3. ἀλλήλοις V. 4. πάλιν] Hebr. XI. 16. 9. πάλιν] 10. ib. ἐξεδέχετο P. 10. πάλιν] VIII. 2. 12. ταῖς Πράξεσιν] XXVI. 7. 15. ἐγείρει τοὺς νεκροὺς P. ib. πάλιν] 21. 18. μαρτυρούμενος P, μαρτυρώμενος V. 19. μελλόντων] μετ' ὀλίγον P. 20. εἰ πρῶτος] ἢ πρῶτος V.

qui relinquimur, simul cum ipsis rapiemur in nubes, in occursum Domini in aëra, et sic semper cum Domino erimus. Itaque consolamini invicem in verbis istis. Et rursum: *Qui enim haec dicunt, significant se patriam inquirere. Et si quidem ipsius meminissent, de qua exierunt, habebant utique tempus revertendi, nunc autem meliorem appetunt, id est, coelestem. Ideo non confunditur Deus, Deus vocari eorum: paravit enim illis civitatem.* Et alibi: *Expectabat enim fundamenta habentem civitatem, cujus artifex et conditor Deus.* Et alio loco: *Sanctorum minister et tabernaculi veritatis, quod fixit Dominus, et non homo.* Quin et in Actis Apostolorum, quando ad Festum et Agrippam pro tribunali sedentes verba fecit, haec dixit: *De qua spe, Rex, accusor a Judaeis? Quid incredibile judicatur apud vos, si Deus mortuos suscitat?* Et rursum: *Hac ex causa me Judaei, cum essem in templo, comprehensum tentabant occidere. Auxilio autem adjutus a Deo usque ad hanc horam, testificans minori et majori, nihil extra dicens, quam ea quae Prophetae locuti sunt paulopost futura esse, et Moyses, si passibilis Christus, si primus ex resurrectione mortuorum, lumen annunciaturus est populo et gentibus.*

Καὶ αὐτῷ τῷ ἔτει μηνὶ γορπιαίῳ τῇ πρὸ η' καλανδῶν ὀκτωβρίων ἡμέρᾳ παρασκευῇ ἐδηλώθη ἀνῃρῆσθαι Ἀταοῦλφον βάρβαρον ἐν τοῖς ἄνω μέρεσιν ὑπὸ τοῦ δεσπότου Ὁνωρίου. καὶ γενομένης λυχναψίας τῇ ἑξῆς ἱππικὸν ἤχθη, ὡς καὶ πομπὴν εἰσελθεῖν.

V 247 C Τῷ αὐτῷ ἔτει ἐπετελέσθη τὰ ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως μηνὶ γορπιαίῳ πρὸ ϛ' ἰδῶν ὀκτωβρίων
R 718 ἡμέρᾳ κυριακῇ. καὶ ἐκομίσθη ἐν Κωνσταντινουπόλει διὰ τῆς Χαλκηδονησίας σκάλας λείψανα Ἰωσὴφ τοῦ υἱοῦ Ἰακὼβ καὶ Ζαχαρίου τοῦ πατρὸς τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ μηνὶ γορπιαίῳ πρὸ ϛ' νωνῶν σεπτεμβρίων ἡμέρᾳ σαββάτῳ, βασταζόντων τὰ αὐτὰ λείψανα ἐν γλωσσοκόμοις δυσὶν Ἀττικοῦ πατριάρχου Κωνσταντινουπόλεως καὶ Μωσέως ἐπισκόπου Ἀντυράδου Φοινίκης, καθεζομένων αὐτῶν ἐν βουριχαλλίοις· ἅτινα ἀπέθεντο ἐν τῇ μεγάλῃ

1. τὸ om. R. ib. νέου om. P. 14. ἰδῶν] καλανδῶν Clintonus Fast. vol. II. p. 361. V. ad p. 301. D. 15. ἐν τῇ Κ. P. 16. Ἰακώβου P. 21. βουῤῥιχαλλίοις P.

A. C. [Ol. Iph.]

Augustae, ab Aureliano iterum Praefecto sacris Praetoriis et Patricio, mense Apellaeo, ex a. d. III. Kal. Januar.

415. VII. Ind. XIII. Honorio X. et Theodosio Augusto VI. Coss. 3.

His Coss. Theodosius Junior Augustus Quinquennalia celebravit Constantinopoli mense Audynaeo, ex a. d. III. Id. Januarii: et renuntiata est mors Thermuntiae Domini Honorii Augusti conjugis, mense Panemo, ex a. d. III. Kal. Augusti, feria VI.

Eodem anno, mense Gorpiaeo, ex a. d. VIII. Kal. Octobr. feria VI. nuntius allatus est Ataülfum barbarum in superioribus partibus a Domino Honorio fuisse sublatum, factaque luminum accensione postridie Circenses ludi acti sunt, in pompae speciem facto ingressu.

Eodem anno, dedicata est Magna Ecclesia Constantinopoleos mense Gorpiaeo, ex a. d. VI. Idus Octobr. die Dominica. Translatae sunt Constantinopolim per Scalam Chalcedonensem reliquiae Josephi filii Jacobi, et Zachariae patris Sancti Joannis Baptistae mense Gorpiaeo, ex a. d. VI. Nonas Septembres,

ἐκκλησίᾳ, προπέμποντος Οὔρσου ἐπάρχου πόλεως καὶ πάσης τῆς συγκλήτου. D

Καὶ ἀφιερώθη ἀνδριὰς χρυσοῦς ἐν τῇ συγκλήτῳ τοῦ δεσπότου Θεοδοσίου νέου Αὐγούστου ὑπὸ Αὐρηλιανοῦ δὶς ἐπάρχου πραιτωρίων καὶ πατρικίου.

σϟθ' Ὀλυμπιάς.

Ἰνδ. ιδ'. η'. ὑπ. Θεοδοσίου νέου Αὐγούστου τὸ ζ' καὶ Παλλαδίου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐκ τοῦ πορφυροῦ κίονος, ἐν ᾧ ἐπέστη Κωνσταντῖνος ὁ μέγας βασιλεύς, ἀπὸ τοῦ κατωτέρου λίθου ἀπέσπασεν λίθος μέγας νυκτὸς μηνὶ δύστρῳ τῇ πρὸ ε' καλανδῶν ἀπριλίων, ἐπιφωσκούσης ἡμέρας τρίτης. P 310

Καὶ αὐτῷ τῷ ἔτει ἐδέθησαν οἱ πάντες σφόνδυλοι τοῦ αὐτοῦ κίονος.

Καὶ ἐπετελέσθη θέατρον, θεωρήσαντος Οὔρσου ἐπάρχου πόλεως, ὑπὲρ τῶν ἐπινικίων τῶν κατὰ Ἄτταλον τὸν τύραννον μηνὶ δαισίῳ τῇ πρὸ δ' καλανδῶν ἰουλίων ἡμέρᾳ δ'.

Καὶ ἤχθη καὶ ἱππικὸν περὶ τῶν αὐτῶν ἐπινικίων μηνὶ πανέμῳ νώναις ἰουλίαις.

2. τῆς om. P. 16. τὸν om. P. 17. ἡμέρᾳ δ' om. P.

A. C. [Ol. Iph.]

die Sabbati, ipsas reliquias in binis arculis deferentibus Attico Patriarcha Constantinopolitano et Mose Antaradi Phoenices Episcopo, buricis vectis: quae quidem in Magna Ecclesia depositae sunt, has deducente Urso Praefecto Urbi, et universo Senatu.

Dedicata quoque est statua aurea in Senatu Domini Theodosii Junioris Augusti ab Aureliano iterum Praefecto Praetorio et Patricio.

CCXCIX. Olympias.

416. VIII. Ind. XIV. Theodosio Juniore Augusto VII. et Palladio Coss. 4.

His Coss. ex Columna Porphyretica, in qua stetit Constantinus Magnus Imperator, ab inferiore lapide avulsus est lapis magnus noctu, mense Dystro, ex a. d. V. Kalend. Apriles, illucescente feria III.

Hoc ipso anno, revinctae sunt ac illigatae ejusdem Columnae compages omnes.

Celebrati sunt quoque ludi Theatrales, hos edente Urso Praefecto Urbi, ob victoriae ex Attalo tyranno reportatae nuntium, mense Desio, ex a. d. IV. Kalend. Julias.

Acti etiam Circenses ob ejusdem victoriae nuntium, mense Panemo, Nonis Juliis.

Καὶ αὐτῷ τῷ ἔτει εἰσῆλθεν ὁ δεσπότης Θεοδόσιος νέος ἀπὸ
B *Ἡρακλείας εἰς Κωνσταντινούπολιν μηνὶ γορπιαίῳ πρὸ α' καλανδῶν ὀκτωβρίων ἡμέρᾳ σαββάτῳ, κομισάμενος κατὰ τὴν συνήθειαν τὸν χρυσοῦν στέφανον ἐν τῷ Θεοδοσιακῷ φόρῳ ὑπὸ Οὔρσου ἐπάρχου πόλεως καὶ τῆς συγκλήτου.*

Ἰνδ. ιε'. θ'. ὑπ. Ὁνωρίου τὸ ια' καὶ Κωνσταντίου τὸ β'.

Ἐπὶ τούτων τῶν ὑπάτων σεισμὸς ἐγένετο μέγας ἑσπέρας ἡμέρᾳ παρασκευῇ μηνὶ ξανθικῷ πρὸ ιβ' καλανδῶν μαΐων. ἦν δὲ κατ' αὐτὴν τὴν ἡμέραν τὸ πάθος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

R 720 *Ἰνδ. α'. ι'. ὑπ. Ὁνωρίου τὸ ιβ' καὶ Θεοδοσίου νέου Αὐγούστου τὸ η'.*

C *Ἐπὶ τούτων τῶν ὑπάτων γέγονεν ἔκλειψις ἡλίου μηνὶ πανέμῳ πρὸ ιδ' καλανδῶν αὐγούστων ἡμέρᾳ παρασκευῇ ὥραν η'.*

Ἰνδ. β'. ια'. ὑπ. Μοναξίου καὶ Πλίνθα.

Ἐπὶ τούτων τῶν ὑπάτων ἡμέρᾳ κυριακῇ εἰσελθόντος Ἀετίου ἐπάρχου πόλεως μετὰ τοῦ σχήματος ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ μηνὶ περιτίῳ πρὸ ζ' καλανδῶν μαρτίων ἐπὶ τῷ εὐξάμενον αὐτὸν ἀπελθεῖν κληθέντα ἐν τῷ παλατίῳ, Κυριακός τις γέρων βαλὼν μάχαιραν μεγάλην εἰς χάρτην, ὡσανεὶ λίβελλον αὐτῷ προσφέρων, ἔκρουσεν αὐτῷ κατὰ τοῦ δεξιοῦ μέρους τοῦ στήθους, ὥστε τὸ πενόλιον αὐτοῦ καὶ τὴν τόγαν τρηθῆναι.

3. *νομισάμενος* R, *κομισάμενος*, *κομησάμενος* m. R. ibid. *κατὰ τὴν συνήθειαν* om. P. 6. *Κωνσταντίνου* R. 14. *ὥρᾳ* P. 21. *τοῦ* alterum om. P. 22. *πενώλιον* PV.

Anni a m c. A. C. **[Ol. Iph.]**

Eodem anno, Dominus Theodosius Junior Heraclea profectus, Constantinopolim ingressus est mense Gorpiaeo, pridie Kalend. Octobr. die Sabbati, auream coronam ab Urso Praefecto Urbi et Senatu in Foro Theodosiaco sibi oblatam deferens.

417. IX. Ind. XV. Honorio XI. et Constantio II. Coss. **1. 299.**

His Coss. factus est ingens terrae motus vesperi die Parasceves, mense Xanthico, ex a. d. XII. Kal. Maias. Accidit autem hoc ipso die, quo Dominus noster Jesus Christus passus est.

6926. 418. X. Ind. I. Honorio XII. et Theodosio Juniore Augusto VIII. Coss. **2.**

His Coss. solis eclipsis facta est mense Panemo, ex a. d. XIV. Kal. Augusti feria VI. hora VIII.

419. XI. Ind II. Monaxio et Plintha Coss. **3.**

His Coss. die Dominica, Aëtius Praefectus Urbi, cum suae dignitatis habitu, Magnam Ecclesiam ingressus mense Peritio, ex a. d. VII. Kalend. Martias, dum peractis precibus

τ' Ὀλυμπιάς. D

Ἰνδ. γ'. ιβ'. ὑπ. Θεοδοσίου νέου Αὐγούστου τὸ θ' καὶ Κωνσταντίου τὸ γ'.

Ὅτε προέκοψεν τὴν ἡλικίαν Θεοδόσιος νέος Αὔγουστος, V 248
ἀνεγίνωσκεν ἐν τῷ παλατίῳ ἐν ζωῇ τοῦ πατρὸς αὐτοῦ· καὶ μετὰ τελευτὴν τοῦ πατρὸς αὐτοῦ συνανεγίνωσκεν αὐτῷ νεώτερός τις ὀνόματι Παυλῖνος, υἱός τινος κόμητος δομεστίκων. ἐφίλει δὲ αὐτὸν Θεοδόσιος. καὶ ἀνδρειωθεὶς ὁ αὐτὸς Θεοδόσιος νέος Αὔ- P 311
γουστος ἐζήτει λαβεῖν δέσποιναν εἰς γάμον· καὶ ὤχλει τῇ ἀδελφῇ αὐτοῦ Πουλχερίᾳ τῇ δεσποίνῃ, οὔσῃ παρθένῳ. κἀκείνη πάλιν ὡς φιλοῦσα τὸν ἴδιον αὐτῆς ἀδελφὸν οὐχ εἵλετο γαμηθῆναί τινι. ἡ δὲ περιεργασαμένη περὶ πολλῶν παρθένων κορασίων, θυγατέρων πατρικίων καὶ ἐξ αἵματος βασιλικοῦ, θέλουσα τῷ ἀδελφῷ αὐτῆς συνδιάγειν ἐν τῷ παλατίῳ, καὶ εἶπεν αὐτῇ Θεοδόσιος ὅτι Ἐγὼ θέλω εὑρεῖν νεωτέραν εὔμορφον πάνυ, ἵνα τοιοῦτον κάλλος μὴ ἔχῃ ἄλλη γυνὴ ἐν Κωνσταντινουπόλει, καὶ ἐξ αἵματος βασιλικοῦ. εἰ δὲ μή ἐστιν καλὴ εἰς ὑπερβολήν, οὐ χρείαν ἔχω οὔτε ἀξιωματικοῦ οὔτε βασιλικοῦ αἵματος οὔτε πλουσίαν, ἀλλὰ B
καὶ εἴ τινος δήποτε ἐάν ἐστι θυγάτηρ, μόνον εὐπρεπὴς πάνυ,

6. αὐτοῦ τοῦ πατρὸς P. 7. ὀνόματι om. P. 8. ἀνδρειωθεὶς PV. 12. παρθένων om. P. 18. οὔτε ἀξιωματικοῦ om. P.

A. C. [Ol Iph.]

abitum pararet, vocatus ad Palatium, Cyriacus quidam senex, grandiori cultro in charta occultato, veluti libellum supplicem illi porrigeret, ad dextram pectoris partem ita illum percussit, ut illius penula et toga perforatae fuerint.

CCC. Olympias.

420. XII. Ind. III. Theodosio Juniore Augusto IX. et Constantio III. Coss. 4.

Cum adolesceret Theodosius Junior Augustus, parente superstite, studiis ac lectioni in palatio dabat operam: eo vero mortuo, cum illo legebat adolescens quidam Paulinus, cujusdam Domesticorum Comitis filius. Amabat autem ipsum Theodosius. Et cum jam in virum adolevisset Theodosius Junior Augustus, cupiebat Dominam matrimonio sibi adjungere, eoque nomine subinde interpellabat Dominam Pulcheriam sororem, quae tum virgo erat, et cum fratrem diligeret, a nuptiis hactenus abstinuerat. Sollicita admodum erat quam ex compluribus puellis ex Patricio vel Imperatorio genere fratri in uxorem deligeret, statuens cum illo in Palatio una versari. Tum Theodosius, *Vellem*, inquit, *invenire adolescentulam aliquam eximia adeo pulcritudine, ut nulla sit in urbe Constantinopolitana quae hanc antecellat, eamque ex Imperatorio genere. Si tamen nulla occurrat ejusmodi, atque ea formae elegantia, tum vero nec Regii mihi curae sunt natales, vel divitiae, aut cujusvis filia sit minime sum solicitus, dummodo prorsus eximia sit forma, tum*

αὐτὴν λαμβάνω. καὶ ἀκούσασα ταῦτα ἡ δέσποινα Πουλχερία
πανταχοῦ ἔπεμψεν περιεργαζομένη. καὶ Παυλῖνος δὲ ὁ αὐτοῦ
συμπράκτωρ καὶ φίλος περιέτρεχεν, ἀρέσαι θέλων αὐτῷ χάριν
R 722 τοῦ κεφαλαίου τούτου. ἐν δὲ τῷ μεταξὺ συνέβη ἐλθεῖν ἐν Κων-
σταντινουπόλει μετὰ τῶν ἰδίων συγγενῶν κόρην εὐπρεπεστάτην,
ἐλλόγιμον, Ἑλλαδικήν, ὀνόματι Ἀθηναΐδα, θυγατέρα γενομέ-
νην Ἡρακλείτου τοῦ φιλοσόφου, ἥτις Ἀθηναῒς ἠναγκάσθη κα-
ταλαβεῖν τὴν εὐδαίμονα πόλιν πρὸς τὴν ἰδίαν αὐτῆς θείαν διὰ
C πρόφασιν τοιαύτην. ὁ φιλόσοφος Ἡράκλειτος ὁ αὐτῆς πατήρ,
ἔχων καὶ δύο υἱούς, μέλλων τελευτᾶν διέθετο, γράψας ἐν τῇ
αὐτοῦ διαθήκῃ κληρονόμους πάσης τῆς ὑπ' αὐτοῦ καταλειφθεί-
σης περιουσίας τοὺς δύο υἱοὺς αὐτοῦ Οὐαλεριανὸν καὶ Γέσιον,
εἰρηκὼς ἐν τῇ αὐτῇ διαθήκῃ, Ἀθηναΐδι δὲ τῇ ποθεινοτάτῃ
μου θυγατρὶ δοθῆναι βούλομαι νομίσματα ἑκατὸν καὶ μόνον·
ἀρκεῖ γὰρ αὐτῇ ἡ αὐτῆς τύχη ὑπερέχουσα πᾶσαν τὴν γυναικείαν
τύχην. καὶ τελευτᾷ ὁ αὐτῆς πατὴρ Ἡράκλειτος ὁ σοφὸς Ἀθη-
D ναῖος. μετὰ δὲ τὴν αὐτοῦ ἀποβίωσιν καὶ τοῦ δῆλα γενέσθαι τὰ
διατυπωθέντα ἡ αὐτὴ Ἀθηναῒς τοὺς ἑαυτῆς ἀδελφοὺς ἐδυσώ-
πει, ὡς μείζονας ὄντας τὴν ἡλικίαν, προσπίπτουσα αὐτοῖς καὶ
αἰτοῦσα μὴ προσχεῖν τῇ αὐτῇ διαθήκῃ, ἀλλὰ τὸ τρίτον μέρος
λαβεῖν τῆς πατρῴας περιουσίας, λέγουσα μηδὲν ἡμαρτηκέναι,
ἀλλ' ὅτι Καὶ ὑμεῖς γινώσκετε τὸ πῶς διεκείμην πρὸς τὸν κοινὸν

2. περιεργασαμένη P. 17. τοῦ] Fort. τό. 18. αὐτὴ δὲ P.
22. τὸ om. P.

illam mihi in conjugem assumam. Quibus auditis, Domina Pulcheria hujuscemodi perquirendae puellae causa varias in regiones misit. Sed et Paulinus, Theodosii socius et amicus, hac in re Theodosio placere cupiens circumcursabat. Accidit interea ut Constantinopolim cum suis cognatis veniret puella Graecanica, forma admodum eleganti, ac eloquentia singulari, Athenais nomine, Heracliti Philosophi filia: quae quidem Athenais coacta fuerat Felicem Urbem petere, amitam suam conventura, hac quam dicturi sumus occasione.

Heraclitus Philosophus, illius pater, cum duos haberet filios, moriturus testamentum condidit, quo duos illos filios, Valerianum et Gesium, ex asse scripsit heredes, hisce verbis adjectis: *Athenaidi vero desideratissimae filiae meae volo dari duntaxat centum nummos: sufficit enim illi fortuna sua, quae fortunam omnem muliebrem excedit.* Atque ita moritur pater Heraclitus Philosophus Atheniensis. Post mortem vero illius, Athenais cum quae in paterno testamento exarata erant accepisset, fratres suos, utpote natu majores, illorum etiam pedibus advoluta, rogavit, ut posthabito patris testamento tertiam haereditatis partem sibi habere sinerent, cum diceret nihil se peccasse: *Quinpotius*, aiebat, *testes ipsimet estis, qua ratione erga communem parentem me gesserim.* *Unde*

ἡμῶν πατέρα, καὶ οὐκ οἶδα διὰ τί ἄπορόν με κατέλιπεν μέλλων τελευτᾶν καὶ εὐπορίας τυχεῖν μετὰ τὴν αὐτοῦ νέκρωσιν ἐχαρίσατό μοι. οἱ δὲ αὐτῆς ἀδελφοὶ ἔμειναν ἀπειθεῖς, καὶ ὀργισθέντες ἐδίωξαν αὐτὴν καὶ ἐκ τοῦ πατρῴου αὐτῶν οἴκου. καὶ ἐδέ- P 312
ξατο αὐτὴν λοιπὸν ἡ ἀδελφὴ τῆς γενομένης αὐτῆς μητρός, καὶ οὐ μόνον ὡς ὀρφανὴν ἀλλὰ καὶ ὡς παρθένον καὶ ἀδελφόπαιδα ἐφύλαξεν αὐτήν· ἥντινα λαβοῦσα μεθ' ἑαυτῆς ἀνήγαγεν ἐν Κωνσταντινουπόλει πρὸς τὴν ἄλλην θείαν αὐτῆς τὴν ἀδελφὴν τοῦ αὐτῆς πατρὸς Ἡρακλείτου. καὶ λαβοῦσαι αὐτὴν ἐποίησαν ἀξίωσιν κατὰ τῶν αὐτῆς ἀδελφῶν, καὶ προσῆλθον τῇ εὐσεβεστάτῃ δεσποίνῃ Πουλχερίᾳ τῇ ἀδελφῇ Θεοδοσίου τοῦ βασιλέως, καὶ V 249
ἐδίδαξαν ὡς βιαζομένη παρὰ τῶν ἰδίων αὐτῆς ἀδελφῶν, διαλεγομένη ἐλλογίμως. καὶ ἑωρακόσα αὐτὴν ἡ αὐτὴ δέσποινα Πουλχερία εὐπρεπῆ καὶ ἐλλόγιμον, ἐπηρώτησεν τὰς αὐτῆς θείας εἰ B
ἔστι παρθένος; καὶ ἐδιδάχθη ὅτι παρθένος πεφύλακται ἀπὸ τοῦ R 724
αὐτῆς πατρὸς καὶ ὅτι διὰ λόγων πολλῶν ἧκται φιλοσοφίας, ἐκέλευσεν αὐτὴν ἅμα ταῖς αὐτῆς θείαις διὰ κουβικουλαρίων φυλαχθῆναι καὶ περιμεῖναι, λαβοῦσα, φησίν, τὴν δέησιν παρ' αὐτῆς εἰσῆλθε πρὸς τὸν ἴδιον ἀδελφὸν Θεοδόσιον τὸν βασιλέα, καὶ εἶπεν αὐτῷ ὅτι Ηὗρον νεωτέραν καθαράν, εὔστολον, λεπτοχαράκτηρον, εὔρινα, ἀσπροτάτην ὡσεὶ χιών, μεγαλόφθαλμον, ὑποκεχαρισμένην, οὐλοξανθόκομον, σεμνόποδα, ἐλλόγιμον, Ἑλ-

12. διαλεγομένην P. 13. ἑωρακυῖα P. ibid. δέσποινα] ἡ δέσποινα P. 16. καὶ κελεύσασα Malalas p. 354. 18.

nescio cur moriturus, dum me inopem relinquit, omnium rerum copia post illius excessum frui largiatur. Verum persuaderi fratres non potuere, immo irati et hanc persecuti, domo paterna excedere coegerunt: quam excepit deinceps matris illius soror, neque illa solum ut pupillam, sed et ut virginem ac sororis filiam tutata est. Hanc deinde secum adduxit Constantinopolim ad aliam amitam suam, patris Heracliti sororem. Illae causa puellae suscepta, et actione contra illius fratres instituta, adierunt piissimam Dominam Pulcheriam, Theodosii Imperatoris sororem, hancque ut a fratribus exacta sit docuere: quod et illa singulari eloquentia exposuit.

Domina vero Pulcheria puellam conspicata, forma prorsus eleganti, ac praeclara dicendi facultate praeditam, interrogavit illius amitas, an virgo esset. Postquam vero virginem a parente fuisse custoditam intellexit, eamque Philosophiae studiis longo tempore institutam, jussit illam una cum amitis a Cubiculariis custodiri, et aliquantulum expectare: acceptoque, ut aiunt, supplici illius libello, ad fratrem Theodosium ingressa, *Inveni*, inquit, *puellam, puram, egregie ornatam, exili corporis statura, naso decenti, nivis instar candidam, oculis magnis, gratia singulari, crispis itsque flavis capillis, maturo incessu, disertam, Graecani-*

λαδικήν, παρθένον. ὁ δὲ ἀκούσας, ὡς νεώτερος, ἀνήφθη, καὶ
C μεταστειλάμενος τὸν συμπράκτορα αὐτοῦ καὶ φίλον Παυλῖνον ᾔτησε τὴν ἀδελφὴν αὐτοῦ ὡς ἐπ' ἄλλῳ τινὶ εἰσαγαγεῖν τὴν αὐτὴν Ἀθηναΐδα ἐν τῷ αὐτῆς κουβουκλίῳ, ἵνα διὰ τοῦ βήλου θεωρήσῃ αὐτὴν ἅμα Παυλίνῳ. καὶ εἰσήχθη, καὶ ἑωρακὼς αὐτὴν ἠράσθη αὐτῆς, θαυμάσαντος αὐτὴν Παυλίνου, καὶ κρατήσας αὐτὴν ἐποίησε χριστιανήν, ἦν γὰρ Ἑλληνίς, καὶ μετωνόμασεν αὐτὴν Εὐδοκίαν.

Ἰνδ. δ'. ιγ'. ὑπ. Εὐσταθίου καὶ Ἀγρικόλα.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐνεβλήθη τὸ ὕδωρ τῆς κιστέρνης
D τῆς δεσποίνης Πουλχερίας Αὐγούστας μηνὶ περιτίῳ πρὸ α' ἰδῶν φεβρουαρίων, παρόντος τοῦ δεσπότου Θεοδοσίου Αὐγούστου.

Τούτῳ τῷ ἔτει γάμους ἐπετέλεσε Θεοδόσιος Αὔγουστος, λαβὼν γυναῖκα Ἀθηναΐδα τὴν καὶ Εὐδοκίαν μηνὶ δαισίῳ πρὸ ζ' ἰδῶν ἰουνίων, καὶ ἐπετελέσθη ἱππικὸν τῶν αὐτῶν γάμων τῷ αὐτῷ δαισίῳ μηνὶ πρὸ δ' ἰδῶν ἰουνίων, ὁμοίως καὶ θέατρον τοῦ αὐτοῦ ἱππικοῦ.

Καὶ ἔσχεν ἐξ αὐτῆς Ἀθηναΐδος τῆς καὶ Εὐδοκίας θυγατέρα Εὐδοξίαν ὀνόματι.

P 313 Ἀκούσαντες δὲ οἱ τῆς Αὐγούστης ἀδελφοὶ ὅτι βασιλεύει ἡ ἀδελφὴ αὐτῶν, προσέφυγον ἐν τῇ Ἑλλάδι φοβηθέντες· καὶ πέμ-

1. ὁ] ὡς P. 4. κουβικουλίῳ P. ibid. βέλου P. 6. αὐτῆς Malalas p. 355. 6. αὐτῷ PV. ib. κρατήσαντος R. 9. Ἀγρικόλα P. 11. Αὐγούστης P. ib. ἰδῶν om. R. 16. μηνὶ Δεσίῳ P.

Anni a m. c. *cam, virginem.* Haec simul is audivit, uti juvenis exarsit, et accersito socio suo et amico Paulino, petivit a sorore sua, ut specie alterius cujusdam negotii, Athenaidem in suum cubiculum adduceret, quam per velum una cum Paulino spectaret. Introducta illa ac visa, ejus amore statim succensus est, admirante eandem Paulino, quam ille in uxorem acceptam, Christianam fecit (erat enim Gentilis), Eudociae indito nomine.

A. C. [Ol. Iph.]
5929. 421. XIII. Ind. IV. Eustathio et Agricola Coss. 1. 300.

His Coss. immissa est aqua in Cisternam Dominae Pulcheriae Augustae mense Peritio, Idibus Februarii, praesente Domino Theodosio Augusto.

Hoc ipso anno, Theodosius Augustus accepta in conjugem Athenaide, quae et Eudocia dicta est, nuptias celebravit mense Desio, ex a. d. VII. Idus Junias: quarum Circenses acti sunt et celebrati eodem mense Desio, ex a. d. IV. Idus Junias, editique pariter in Circo ludi Scenici.

Suscepit autem ex ipsa Athenaide, seu Eudocia, filiam nomine Eudociam.

Cum vero sororem imperare intellexissent Augustae fratres, metu correpti, fugerunt in Graeciam: At illa per nuntios data securitate ac-

ψασα ἀνήνεγκεν αὐτοὺς ὑπὸ λόγον, καὶ ἐποίησεν αὐτοὺς ἀξιωματικούς, προαγαγόντος αὐτοὺς τοῦ βασιλέως Θεοδοσίου. καὶ τὸν μὲν λεγόμενον Γέσιον ἔπαρχον πραιτωρίων ἐποίησεν τοῦ Ἰλλυριῶν ἔθνους, τὸν δὲ Οὐαλεριανὸν μάγιστρον, εἰρηκόσης αὐτοῖς τῆς ἀδελφῆς αὐτῶν Εὐδοκίας ὅτι Εἰ μὴ ὑμεῖς κακῶς ἐχρήσασθέ μοι, οὐκ ἂν ἠναγκαζόμην ἐλθεῖν ἐν Κωνσταντινουπόλει καὶ βασιλεῦσαι. τὴν οὖν ἐκ τῆς γενέσεώς μου βασιλείαν ὑμεῖς ἐχαρί- R. 726
σασθε· ἡ γὰρ ἐμὴ ἀγαθὴ τύχη ὑμᾶς ἀπειθεῖς ἐποίησεν εἰς ἐμὲ γενέσθαι καὶ οὐχ ἡ ὑμετέρα πρὸς ἐμὲ γνώμη. B

Ὁ δὲ βασιλεὺς Θεοδόσιος Παυλῖνον ὡς φίλον αὐτοῦ καὶ μεσιάσαντα τῷ γάμῳ καὶ συναριστοῦντα αὐτοῖς ἐποίησεν διὰ πάσης ἀξίας ἐλθεῖν· καὶ μετὰ ταῦτα προηγάγετο αὐτὸν μάγιστρον. καὶ ηὐξήθη, ὡς ἔχων παῤῥησίαν πρὸς τὸν βασιλέα Θεοδόσιον καὶ τὴν Αὔγουσταν, ὡς καὶ παράνυμφος αὐτῶν γενόμενος.

Τούτῳ τῷ ἔτει ἀφιερώθη ἀνδριὰς Ἀρκαδίου ἑστὼς ἐπάνω V 250
τοῦ Κοχλίου τοῦ κίονος ἐν τῷ Ἀρκαδιακῷ φόρῳ ἐν τῷ καλουμένῳ Ξηρολόφῳ μηνὶ πανέμῳ πρὸ ϛʹ ἰδῶν ἰουλίων ἡμέρᾳ σαβ- C
βάτῳ.

Τῷ αὐτῷ ἔτει ἐδηλώθη νίκη κατὰ Περσῶν μηνὶ γορπιαίῳ πρὸ ηʹ ἰδῶν σεπτεμβρίων ἡμέρᾳ γʹ.

Ἰνδ. εʹ. ιδʹ. ὑπ. Ὁνωρίου τὸ ιγʹ καὶ Θεοδοσίου Αὐγούστου τὸ ιʹ.

3. Γέσιον λεγόμενον P. 4. αὐτῆς τοῖς αὐτοῖς ἀδελφοῖς αὐτῆς P. 9. ἡ om. P. 14. ὡς καὶ] ὡς P. 16. Κοχλίῳ V.

cersitos ad dignitates provexit, ipsos promovente Theodosio Imperatore. Ac Gesium quidem Praefectum Praetorio Illyrici, Valerianum autem Magistrum fecit, cum subinde fratribus suis diceret Eudocia Augusta, *Nisi vos male me tractassetis, nunquam Constantinopolim venire fuissem coacta, neque imperassem. Imperium ergo quod Genesis mea portenderat, concessistis, bona enim fortuna mea vos erga me reddidit asperiores, non vero vestra in me voluntas.*

Imperator autem Theodosius Paulinum ut amicum suum, et nuptiarum conciliatorem, quique eorum esset conviva, per omnes honorum gradus ad dignitates provexit, eumque tandem Magistrum renuntiavit, eo honore auctus, ut quoties luberet, Theodosium Augustum et Augustam, tanquam ipsorum Paranymphus convenire liceret.

Hoc anno, dedicata est statua Arcadii, quae stat supra cochleam columnae in Foro Arcadiaco, in loco Xerolopho appellato, mense Panemo, ex a. d. VI. Idus Julias, die Sabbati.

Eodem hoc anno, nuntiata est victoria de Persis relata, mense Gorpiaeo, ex a. d. VIII. Idus Septembres, feria III.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐφάνη ἐν τῷ οὐρανῷ ἀστὴρ πέμπων ἀκτῖνα πάνυ ἐπιμήκη λευκὴν μηνὶ δύστρῳ ὡς ἐπὶ νύκτας ι' μετὰ ἀλεκτρυόνα, καὶ αὐτῷ τῷ ἔτει ἐγένετο σεισμός.

Ἰνδ. ϛ'. ιε'. ὑπ. Ἀσκληπιοδότου καὶ Μαρινιανοῦ.

D Ἐπὶ τούτων τῶν ὑπάτων ἀνηγορεύθη ἡ Εὐδοκία Αὔγουστα μηνὶ αὐδυναίῳ πρὸ δ' νωνῶν ἰανουαρίων, καὶ πολλοὶ σεισμοὶ ἐγένοντο ἡμέρᾳ δευτέρᾳ ὥραν δεκάτην μηνὶ ξανθικῷ πρὸ ζ' ἰδῶν ἀπριλίων.

τα' Ὀλυμπιάς.

Ἰνδ. ζ'. ιϛ'. ὑπ. Βίκτωρος καὶ Καστίνου.

Ἰνδ. η'. ιζ'. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ια' καὶ Οὐαλεντινιανοῦ Καίσαρος.

P 314 Ἐπὶ τούτων τῶν ὑπάτων ἐπήρθη ὑπὸ Θεοδοσίου νέου Αὐγούστου Οὐαλεντινιανὸς νέος Αὔγουστος μηνὶ ὑπερβερεταίῳ πρὸ ι' καλανδῶν νοεμβρίων.

Ἰνδ. θ'. ιη'. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ιβ' καὶ Οὐαλεντινιανοῦ νέου Αὐγούστου τὸ β'.

Ἰνδ. ι'. ιθ'. ὑπ. Ἱερίου καὶ Ἀρδαβουρίου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐνεκαινίσθη τὸ δημόσιον τὸ ποτὲ

17. νέου om. P.

Anni a m. c. A. C. [Ol. Iph.]

5930. 422. xiv. Ind. v. Honorio XIII. et Theodosio Augusto X. Coss. 2.

His Coss. sidus in coelo apparuit, radium quendam candidum ac longissimum promittens, mense Dystro, per noctes circiter x. post gallicinium: eodemque anno terrae motus factus est.

423. xv. Ind. vi. Asclepiodoto et Mariniano Coss. 3.

His Coss. Eudocia renuntiata est Augusta mense Audynaeo, ex a. d. iv. Nonas Januarias, crebrique fuere terrae motus feria ii. hora x. mense Xanthico, ex a. d. vii. Idus Apriles.

CCCI. Olympias.

424. xvi. Ind. vii. Victore et Castino Coss. 4.

425. xvii. Ind. viii. Theodosio Augusto XI. et Valentiniano Caesare Coss. 1. 302.

His Coss. Valentinianus Junior levatus est Augustus a Theodosio Juniore Augusto mense Hyperberetaeo, ex a. d. x. Kal. Novembres.

426. xviii. Ind. ix. Theodosio Augusto XII. et Valentiniano Augusto II. Coss. 2.

427. xix. Ind. x. Hierio et Ardaburio Coss. 3.

His Coss. dedicatum est Balneum publicum, olim dictum

μὲν Κωνσταντινιαναί, νῦν δὲ Θεοδοσιαναί, τελέσαντος αὐτὸ Ἱε- R 728
ρίου τοῦ δὶς ἐπάρχου καὶ ὑπάτου μηνὶ ὑπερβερεταίῳ πρὸ ε' νωνῶν ὀκτωβρίων.

τβ' Ὀλυμπιάς. B

Ἰνδ. ια'. κ'. ὑπ. Φήλικος καὶ Ταύρου.

Ἐπὶ τούτων τῶν ὑπάτων Οὐάνδαλοι εἰσῆλθον εἰς Ἀφρικήν.

Ἰνδ. ιβ'. κα'. ὑπ. Φλωρεντίου καὶ Διονυσίου.

Ἰνδ. ιγ'. κβ'. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ιγ' καὶ Οὐαλεντινιανοῦ νέου Αὐγούστου γ'.

Ἰνδ. ιδ'. κγ'. ὑπ. Ἀντιόχου καὶ Βάσσου.

Ἐν ἔτει να' τῆς εἰς οὐρανοὺς ἀναλήψεως τοῦ κυρίου καὶ τῆς Θεοδοσίου νέου Αὐγούστου βασιλείας ἔτους κγ' καὶ τῶν προ- C
κειμένων ὑπάτων ἐγένετο ἡ τρίτη σύνοδος ἐν Ἐφέσῳ τῶν σ' ἁγίων καὶ μακαρίων πατέρων κατὰ Νεστορίου τοῦ δυσσεβοῦς, ἥτις καὶ αὐτὴ τοῦ συμβόλου τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως ἐχομένη ἐν ὀνόματι Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τὸν αὐτὸν κατέβαλεν Νεστόριον. οὗτος γὰρ τὸν ὑπὲρ νοῦν ἀνθρώπων καὶ πᾶσαν φύσιν ὑπεραίροντα ἐκ τῆς παρθένου κύριον Ἰησοῦν Χριστὸν ἀνθρωπίνης μόνης οὐσίας, οὐχ ἅμα δὲ καὶ θείας εἶναι διδάσκειν ὁ παράφρων ἐτόλμησεν.

1. *Κωνσταντινιαναί*] Vid. Ducang. Hist. Byzant. p. II. p. 91. s. 2. *ὑπάτων* RV. 9. *γ'* om. V, *τὸ γ'* P sola. 14. *πατέρων καὶ μακαρίων* P.

A. C. [Ol. Iph.]

Constantinianae, nunc vero Theodosianae, opus conficiente Hierio iterum Praefecto Urbi et Consule, mense Hyperberetaeo, ex a. d. v. Nonas Octobres.

CCCII. Olympias.

428. xx. Ind. xi. Felice et Tauro Coss. 4.

His Coss. Vandali Africam ingressi sunt.

429. xxi. Ind. xii. Florentio et Dionysio Coss. 1. 302.

430. xxii. Ind. xiii. Theodosio Augusto XIII. et Valentiniano Augusto III. Coss. 2.

431. xxiii. Ind. xiv. Antiocho et Basso Coss. 3.

Anno CDL. Domini in coelum Assumptionis, Theodosii vero Junioris Augusti imperii anno xxiii. iisdemque Coss. celebrata est iii. Synodus Ephesi cc. sanctorum et beatorum Patrum contra Nestorium impium: quae quidem secundum rectae et inculpatae fidei Symbolum, in nomine Christi veri Dei nostri eundem Nestorium dejecit. Hic enim Dominum nostrum Jesum Christum supra captum hominum, et naturam omnem praecellentem, ex Virgine natum, humanam duntaxat, non

V 251 τγ΄ Ὀλυμπιάς.

D Ἰνδ. ιε΄. κδ΄. ὑπ. Οὐαλερίου καὶ Ἀετίου.

Ἰνδ. α΄. κε΄. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ιδ΄ καὶ Μαξίμου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐγένετο πυρκαϊὰ μεγάλη ἀπὸ τοῦ νεωρίου· καὶ ἐκάησαν τὰ ὅρια καὶ τὸ δημόσιον ὁ Ἀχιλλεὺς μηνὶ λώῳ πρὸ ιβ΄ καλανδῶν σεπτεμβρίων.

Ἰνδ. β΄. κϛ΄. ὑπ. Ἀρεοβίνδου καὶ Ἄσπαρος.

Ἰνδ. γ΄. κζ΄. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ιε΄ καὶ Οὐαλεντινιανοῦ νέου Αὐγούστου τὸ δ΄.

P 315 τδ΄ Ὀλυμπιάς.

Ἰνδ. δ΄. κη΄. ὑπ. Ἰσιδώρου καὶ Σενάτορος.

Ἰνδ. ε΄. κθ΄. ὑπ. Ἀετίου τὸ β΄ καὶ Σιγισβούλδου.

Ἐπὶ τούτων τῶν ὑπάτων εἰσῆλθεν ἐν Κωνσταντινουπόλει
R 730 Οὐαλεντινιανὸς νέος Αὔγουστος μηνὶ ὑπερβερεταίῳ πρὸ ιβ΄ καλανδῶν νοεμβρίων. καὶ ἐπετέλεσε τοὺς αὐτοῦ γάμους, λαβὼν Εὐδοξίαν τὴν θυγατέρα Θεοδοσίου καὶ Εὐδοκίας Αὐγούστων, μηνὶ ὑπερβερεταίῳ πρὸ δ΄ καλανδῶν νοεμβρίων, καὶ ἔσχεν ἐξ αὐ-
B τῆς δύο θυγατέρας, Εὐδοκίαν καὶ Πλακιδίαν.

5. Ἀχιλεὺς P. 6. λόφ PV. 12. Σιγισβάλδου P. 16. Αὐγούστης P.

Anni a m.c. A. C. [Ol. Iph.]

vero simul et divinam habuisse substantiam docere uti insanus ausus est.

CCCIII. Olympias.

432. xxiv. Ind. xv. Valerio et Aëtio Coss. 4.

433. xxv. Ind. i. Theodosio Augusto XIV. et Maximo Coss. 1. 303.

His Coss. exortum est incendium ingens a Neorio, et conflagrarunt Horrea, et Balneum publicum, Achilleus appellatum, mense Loo, ex a. d. xii. Kal. Septembres.

434. xxvi. Ind. ii Areobindo et Aspare Coss. 2.

435. xxvii. Ind. iii. Theodosio Augusto XV. et Valentiniano Juniore Augusto IV. Coss. 3.

CCCIV. Olympias.

5944. 436. xxviii. Ind. iv. Isidoro et Senatore Coss. 4.

437. xxix. Ind. v. Aëtio II. et Sigisvaldo Coss. 1. 303.

His Coss. Valentinianus Junior Augustus venit Constantinopolim mense Hyperberetaeo, ex a. d. xii. Kal. Novembr. et suas celebravit nuptias, accepta Eudoxia, filia Theodosii et Eudociae Augustae, mense Hyperberetaeo, ex a. d. iv. Kal. Novembres: et ex ea filias duas suscepit, Eudociam et Placidiam.

Ἰνδ. ϛ'. λ'. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ιϛ' καὶ Φαύστου.

Ἰνδ. ζ'. λα'. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ιζ' καὶ Φήστου.

Ἐν τούτῳ τῷ ἔτει ἐκέλευσε Θεοδόσιος Αὔγουστος τὰ τείχη κύκλῳ γενέσθαι ἐν ὅλῳ τῷ παραθαλασσίῳ Κωνσταντινουπόλεως. καὶ αὐτῷ τῷ ἔτει εἰσῆλθεν ἐν Καρθαγένῃ Ζινζίριχος ὁ βασιλεὺς τῶν Οὐανδάλων μηνὶ ὑπερβερεταίῳ· καὶ αὐτῷ τῷ ἔτει πειρᾶται τὴν Σικελίαν ἐρημῶσαι.

τε' Ὀλυμπιάς. C

Ἰνδ. η'. λβ'. ὑπ. Οὐαλεντινιανοῦ Αὐγούστου τὸ ε' καὶ Ἀνατολίου.

Ἰνδ. θ'. λγ'. ὑπ. Κύρου μόνου.

Ἐπὶ τούτου ἐσφάγη Ἰωάννης Οὐάνδαλος ἐν τῇ Θρᾴκῃ.

Ἰνδ. ι'. λδ'. ὑπ. Εὐδοξίου καὶ Διοσκόρου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐπέρασαν οἱ Οὖννοι καὶ τὸ Ἰλλυρικὸν ἠρήμωσαν Ἀττίλας καὶ Βλίδας.

Ἰνδ. ια'. λε'. ὑπ. Μαξίμου τὸ β' καὶ Πατέρνου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐνεκαινίσθη τὸ δημόσιον λουτρὸν D ὁ Ἀχιλλεὺς μηνὶ αὐδυναίῳ πρὸ γ' ἰδῶν ἰανουαρίων. καὶ εἰσῆλ-

5. Ζινζίροχος V. 6. τῷ αὐτῷ P. 12. Ἰωάννης σου ἄνδαλος V. 15. ἐρήμωσαν P. 18. Ἀχιλεὺς PV.

A. C. [Ol. Iph.]

438. xxx. Ind. vi. Theodosio Augusto XVI. et Fausto Coss. 2.

439. xxxi. Ind. vii. Theodosio Augusto XVII. et Festo Coss. 3.

Hoc anno Theodosius Augustus praecepit muris claudi universum littus maritimum Constantinopoleos. Sed et ipso anno Genserious Vandalorum Rex Carthaginem ingressus est mense Hyperberetaeo: eodemque anno, Siciliam vastare annisus est.

CCCV. Olympias.

440. xxxii. Ind. viii. Valentiniano Augusto V. et Anatolio Coss. 4.

441. xxxiii. Ind. ix. Cyro solo Cos. 1. 304

Hoc Cos. caesus est Joannes Vandalus in Thracia.

442. xxxiv. Ind. x. Eudoxio et Dioscoro Coss. 2.

His Coss. trajecerunt Hunni, et Illyricum vastarunt Attilas et Blidas.

443. xxxv. Ind. xi. Maximo II. et Paterno Coss. 3.

His Coss. dedicatum est publicum Balneum Achilleus mense Audynaeo, ex a. d. iii. Idus Januarias. Et ingressus est Theodosius Augustus Constantinopolim, rediens ab expeditione Asiae, mense Loo, ex a. d. vi. Kal. Septembres.

θεν Θεοδόσιος ὁ Αὔγουστος ἐν Κωνσταντινουπόλει ἀπὸ τοῦ ἐξπεδίτου τῆς Ἀσίας μηνὶ λώῳ πρὸ ς' καλανδῶν σεπτεμβρίων.

τς' Ὀλυμπιάς.

Ἰνδ. ιβ'. λς'. ὑπ. Θεοδοσίου Αὐγούστου τὸ ιη' καὶ Ἀλβίνου.

Ἐν τούτῳ τῷ ἔτει προϊόντος τοῦ βασιλέως Θεοδοσίου εἰς
P 316 τὴν ἐκκλησίαν τῇ ἑορτῇ τῶν ἁγίων θεοφανίων, συνέβη τὸν μά-
V 252 γιστρον Παυλῖνον ἀῤῥωστῆσαι ἐκ τοῦ ποδὸς καὶ μεῖναι ἀπρόϊτον καὶ ἐξσκουσεῦσαι. καὶ προσήνεγκεν πένης τις τῷ βασιλεῖ Θεοδοσίῳ μῆλον Φρύγιον παμμέγεθες εἰς πᾶσαν ὑπερβολήν. καὶ ἐξε-
R 732 νίσθη ὁ βασιλεὺς καὶ πᾶσα ἡ σύγκλητος, καὶ εὐθέως ὁ βασιλεὺς δέδωκεν τῷ πένητι νομίσματα ρν', καὶ ἔπεμψε τὸ μῆλον τῇ Αὐγούστᾳ Εὐδοκίᾳ, καὶ ἡ Αὔγουστα ἔπεμψεν αὐτὸ Παυλίνῳ τῷ μαγίστρῳ καὶ φίλῳ τοῦ βασιλέως. ὁ δὲ αὐτὸς μάγιστρος ἀγνοῶν ὅτι ὁ βασιλεὺς ἔπεμψεν αὐτὸ τῇ Αὐγούστᾳ, αὐτὸς πάλιν ἔπεμ-
B ψεν αὐτὸ τῷ βασιλεῖ Θεοδοσίῳ, ὡς ἐξέρχεται ἀπὸ τῆς ἐκκλησίας. καὶ ἐδέξατο αὐτὸ ὁ βασιλεὺς δίχα τῆς Αὐγούστας, καὶ ἀποκρύψας αὐτὸ καλέσας τὴν Αὔγουσταν ἐπηρώτησεν αὐτήν, Ποῦ ἐστι τὸ μῆλον ὃ ἔπεμψά σοι; ἡ δὲ εἶπεν ὅτι Ἔφαγον αὐτό. καὶ ὥρκωσεν αὐτὴν κατὰ τῆς ἑαυτοῦ σωτηρίας εἰ ἔφαγεν ἢ τινι ἔπεμψεν αὐτό. κἀκείνη ἐπωμόσατο ὅτι οὐδενὶ αὐτὸ ἔπεμψεν, ἀλλ' αὐτὴ αὐτὸ ἔφαγεν. καὶ ἐκέλευσεν, καὶ ἠνέχθη τὸ μῆλον, καὶ ἔδειξεν

2. σεπτεμβρίου P. 6. τὴν om. P. 11. 14. Αὐγούστῃ P. 12. Αὐγούστη P. 16. αὐτὸ om. P. 19. αὐτὴν Malalas p. 357. 8. αὐτῇ PV. ibid. εἰ] ἢ R.

A. C. [Ol. Iph.]

CCCVI. Olympias.

444. xxxvi. Ind. xii. Theodosio XVIII. et Albino Coss. 4.

Hoc anno, procedente Theodosio Imperatore in Ecclesiam die sanctorum Epiphaniorum festo, accidit ut Paulinus Magister ex pede aeger decumberet, nec processui interesset, cum sese excusasset. Obtulit interim pauper quidam pomum Phrygium, ultra quam solet, magnitudinis, ad quam obstupuit Imperator ac universus Senatus, statimque pauperi cl. aureos numerari jussit, misitque pomum Augustae Eudociae, Augusta vero Paulino Magistro et amico Imperatoris. Idem vero Paulinus Magister, cum ignoraret ab Imperatore illud ad Augustam fuisse missum, ipse rursum ad Imperatorem Theodosium, dum ex Ecclesia egrederetur, illud ipsum misit. Recepit Imperator clam Augusta, et abscondit, advocatamque Augustam rogavit: *Ubi est malum, quod misi tibi?* Illa vero, *Comedi*, inquit. Tum Imperator exacto ab ea per suam salutem sacramento, rursum rogat an comedisset, an vero misisset alteri? Juravit illa se comedisse. Tum Imperator adferri pomum imperavit, allatumque illi ostendit. Exhinc illos inter divortium intercessit, ac separatio, Paulinumque deinceps suspectum habuit, ac tandem interfici praecepit. Quare

αὐτῇ αὐτό· καὶ ἐγένετο μεταξὺ αὐτῶν λύσις καὶ ἀπομερισμός. καὶ λοιπὸν ὑπενόησεν τὸν αὐτὸν Παυλῖνον Θεοδόσιος ὁ βασιλεύς, καὶ ἐκέλευσεν αὐτὸν ἀποκτανθῆναι. καὶ λυπηθεῖσα ἡ αὐτὴ δέσποινα Εὐδοκία ὡς ὑβρισθεῖσα, ἐγνώσθη γὰρ πανταχοῦ ὅτι διὰ C αὐτὴν ἐσφάγη ὁ Παυλῖνος, ὡς ὢν εὔμορφος νεώτερος, ᾐτήσατο τὸν βασιλέα Θεοδόσιον ἡ Αὔγουστα Εὐδοκία ἀπελθεῖν εὐχῆς χάριν εἰς τοὺς ἁγίους τόπους, καὶ παρέσχεν αὐτῇ, καὶ ἀπιοῦσα ἀπὸ Κωνσταντινουπόλεως ἐπὶ τὰ Ἱεροσόλυμα εὔξασθαι, εἰσελθοῦσα ἐν τῇ Ἀντιοχείᾳ τῇ μεγάλῃ εἶπεν ἐν τῷ βουλευτηρίῳ λόγον ἐγκωμιαστικὸν εἰς τὴν αὐτὴν Ἀντιόχειαν, καθημένη ἔσωθεν τοῦ δίφρου ὁλοχρύσου ὄντος καὶ διαλίθου βασιλικοῦ, καὶ ἔκραξαν αὐτῇ οἱ τῆς πόλεως, καὶ ἀνηνέχθη αὐτῇ ἔσω ἐν τῷ βουλευτηρίῳ εἰκὼν ἔγχρυσος, καὶ εἰς τὸ λεγόμενον Μουσεῖον στήλην χαλκῆν D ἔστησαν αὐτῇ, αἵτινες ἕως τοῦ νῦν ἵστανται. καὶ φιλοτιμησαμένη τῇ τῶν Ἀντιοχέων πόλει τῆς Συρίας χρήματα λόγῳ σιτωνικοῦ ὥρμησεν ἐπὶ τοὺς ἁγίους τόπους, καὶ ἔκτισεν εἰς Ἱεροσόλυμα πολλά, καὶ τὸ τεῖχος ἅπαν ἀνενέωσεν τῆς Ἱερουσαλήμ, εἰποῦσα ὅτι Δι' ἐμὲ εἶπε Δαβὶδ ὁ προφήτης ὅτι Καὶ ἐν τῇ εὐδοκίᾳ σου οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. καὶ μείνασα εἰς αὐτὴν Ἱερουσαλὴμ καὶ κτίσασα μνῆμα ἑαυτῆς ἐκεῖσε βασιλικὸν τελευτᾷ, καὶ ἀπετέθη ἐκεῖ ἐν Ἱερουσαλήμ. ἐν τῷ δὲ μέλλειν αὐτὴν τελευτᾶν ἐπωμόσατο μὴ συγγινώσκειν τῇ κατηγορίᾳ τῇ γενομένῃ κατ' αὐτῆς ἕνεκεν Παυλίνου.

5. ὢν] ἂν P, ὂν V. 6. εὐχῆς χάριν om. P. 8. ἐλθοῦσα P. 9. ἐν τῷ] αὐτῷ R. 12. ἐν τῷ om. R. 18. ὁ προφήτης] Psalm. L. 20 19. οἰκοδομηθείτω P. ib. μείνασα — 20. καὶ om. P. 21. ἐν] εἰς P. ib. δὲ τῷ P. ib. τελευτᾶν αὐτὴν P.

mirum in modum moerore confecta Domina Eudocia, quod in suam contumeliam redundaret, (notum enim erat omnibus illius causa interfectum esse Paulinum, ut qui formosus esset adolescens), petiit ab Imperatore Theodosio, uti sancta loca adire sibi liceret: quod ille concessit. Illa igitur Constantinopoli profecta Hierosolyma precandi causa, cum Antiochiam magnam venisset, orationem habuit ad Senatum de laudibus Antiochiae, sedens in sella ex auro tota confecta, gemmisque perfusa, ac plane regia, universis urbis civibus fausta illi adclamantibus. Illius deinde illata aurea effigies in Senatum, statua vero aerea in Musaeum, locum ita nuncupatum, quae usque hodie adhuc manent. Illa porro Antiochiae Syriae civitati multis erogatis pecuniis, annonae vice, ad sancta loca profecta, Hierosolymis complura aedificia condidit, murosque urbis universos instauravit, dicens: *Propter me dixit David Propheta, In bona voluntate tua aedificentur muri Hierusalem.* Ibique condito sibi Regio monumento, moritur, ac in eo Hierosolymis sepelitur. Moritura

R 734 P 317 Ἰνδ. ιγ'. λζ'. ὑπ. Οὐαλεντινιανοῦ Αὐγούστου τὸ ς' καὶ Νόμου.
Ἰνδ. ιδ'. λη'. ὑπ. Λεοντίου τὸ γ' καὶ Συμμάχου.
Ἰνδ. ιε'. λθ'. ὑπ. Ἀρδαβουρίου καὶ Ἀλυπίου.

Ἐπὶ τούτων τῶν ὑπάτων Μαρκιανούπολις παρελήφθη, καὶ ἐσφάγη Ἀνάργισκος στρατηλάτης Θρᾴκης.

Καὶ αὐτῷ τῷ ἔτει ἐγένοντο σεισμοὶ μεγάλοι, ὥστε τὰ τείχη πεσεῖν· (B) ἐκράτησαν γὰρ ἐπὶ χρόνον, ὥστε μὴ τολμᾶν τινα ἐν οἴκῳ (V 253) μένειν, ἀλλ' ἔφυγον ἔξω τῆς πόλεως πάντες λιτανεύοντες ἡμέρας καὶ νυκτός· γέγονε γὰρ ἀπειλὴ μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς· τινὲς δὲ ἔλεγον καὶ πῦρ ἐν τῷ οὐρανῷ τεθεᾶσθαι. ὅθεν καὶ ἡ ἀνάμνησις κατ' ἔτος ἐπιτελεῖται μέχρι νῦν τῆς λιτανείας ὑπὲρ τῆς τοῦ φιλανθρώπου θεοῦ μακροθυμίας ἐν τῷ Τρικόγχῳ πρὸ η' ἰδῶν νοεμβρίων. ἐν γὰρ τῇ τοσαύτῃ ἀπειλῇ οὐκ ἐθανάτωσέν τινας.

τζ' Ὀλυμπιάς.

Ἰνδ. α'. μ'. ὑπ. Ζήνωνος καὶ Ποστουμιανοῦ.
C Ἰνδ. β'. μα'. ὑπ. Πρωτογένους καὶ Ἀστερίου.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐτελεύτησεν Μαρῖνα Αὔγουστα, γυνὴ Οὐαλεντινιανοῦ Αὐγούστου, μηνὶ λώῳ πρὸ γ' νωνῶν αὐγούστου.

7. γὰρ om. R. 11. λιτανίας P. 12. Τρικόχῳ V. 14. τινα P.

Anni a m. c. vero juravit se a calumnia, quam Paulini causa passa erat, esse prorsus innocentem.

A. C. [Ol. Iph.]
5953. 445. XXXVII. Ind. XIII. Valentiniano Augusto VI. et Nomo Coss. 1. 306.
446. XXXVIII. Ind. XIV. Leontio III. et Symmacho Coss. 2.
447. XXXIX Ind. XV. Ardaburio et Alypio Coss. 3.

His Coss. Marcianopolis recepta est, et Anargiscus Magister militum Thraciae est interfectus.

Eodem ipso anno, ingentes adeo terrae motus extitere, ut muri prosternerentur, cum longo tempore perstitissent, ita ut nemo domi manere auderet, sed omnes extra urbem fugerent, dieque ac nocte Litaniis insisterent. Ingens enim extitit pavor, qualisque nondum fuerat. Quidam dicebant ignem in coelo visum fuisse: unde quotannis celebratur Litaniae istius memoria pro clementia Dei bonitate ac patientia in Triconcho, ex a. d. VIII. Idus Novembres. In tantis quippe terroribus neminem morti dedit.

CCCVII. Olympias.

448. XL. Ind. I. Zenone et Posthumiano Coss. 4.
449. XLI. Ind. II. Protogene et Asterio Coss.

His Coss. mortua est Marina Augusta Valentiniani Augusti uxor, mense Loo, ex a. d. III. Nonas Augusti.

Ἰνδ. γ'. μβ'. ὑπ. Οὐαλεντινιανοῦ Αὐγούστου τὸ ζ' καὶ Ἀβιήνου.

Τούτοις τοῖς ὑπάτοις ἡ ἐν Ἐφέσῳ δευτέρα σύνοδος ἐγένετο, καὶ καθηρέθησαν ὑπὸ Διοσκόρου ἐπισκόπου Ἀλεξανδρείας Δόμνος ἐπίσκοπος Ἀντιοχείας καὶ Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως καὶ Ἴβας καὶ Θεοδώρητος καὶ ἄλλοι πλείονες.

Ἐπὶ τῆς βασιλείας Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ Αὐγούστων D *ἐπεστράτευσεν κατὰ Ῥώμης καὶ Κωνσταντινουπόλεως Ἀττίλας ὁ ἐκ τοῦ γένους τῶν Γηπέδων Οὔννων, ἔχων πλῆθος μυριάδων πολλῶν. καὶ ἐδήλωσεν διὰ Γότθου ἑνὸς πρεσβευτοῦ Οὐαλεντινιανῷ βασιλεῖ Ῥώμης, Ἐκέλευσέ σοι δι' ἐμοῦ ὁ δεσπότης μου καὶ δεσπότης σου Ἀττίλας ἵνα εὐτρεπίσῃς αὐτῷ παλάτιν. ὁμοίως δὲ καὶ Θεοδοσίῳ βασιλεῖ τὰ αὐτὰ ἐν Κωνσταντινουπόλει ἐδήλωσεν δι' ἑνὸς Γότθου πρεσβευτοῦ. καὶ ἀκηκοὼς Ἀέτιος ὁ πρῶτος συγκλητικὸς Ῥώμης τὴν ὑπερβάλλουσαν τόλμαν τῆς ἀπο-* R 736 *νενοημένης ἀποκρίσεως Ἀττίλα, ἀπῆλθε πρὸς Ἀλλάριχον εἰς τὰς* P 318 *Γαλλίας, ὄντα ἐχθρὸν Ῥώμης διὰ Ὁνώριον, καὶ προετρέψατο αὐτὸν ἅμα αὐτῷ κατὰ Ἀττίλα, ἐπειδὴ ἀπώλεσεν πόλεις πολλὰς τῆς Ῥώμης. καὶ ἐξαίφνης ἐπιῤῥίψαντες αὐτῷ, ὡς ἔστιν ἠπληκευμένος πλησίον τοῦ Δανουβίου ποταμοῦ, ἔκοψαν αὐτοῦ χιλιάδας πολλάς· εἰς δὲ τὴν συμβολὴν ὁ Ἀλλάριχος πληγὴν λαβὼν ἀπὸ*

1. *Ἀλβίνου* P. 9. *Γηπαίδων* PV. 10. *Γόθου* hic et 12. R. *ib.* *τινὸς ἑνὸς* R. 12. *παλάτιον* P, *παλάτην* V. 17. *Γαλλίους* V. 18. *αὐτὸν ἅμα*] *ἅμα αὐτὸς* P. 19. *ἠπληκευσάμενος* P.

A. C. [Ol. Iph.]
450. XLII. Ind. II. Valentiniano Augusto VII. et Albino Coss. 1. 307.

His Coss. Ephesi Synodus altera acta est, in qua damnati sunt a Dioscoro Alexandriae Episcopo Domnus Episcopus Antiochiae, Flavianus Episcopus Constantinopoleos, Ibas, Theodoretus, aliique complures.

Imperantibus Theodosio et Valentiniano Augustis, expeditionem movit adversus Romam et Constantinopolim Attilas, ex Gepidis Hunnis ortus, una cum infinita copiarum multitudine, haecque Valentiniano qui Romae imperabat, per quendam Gotthum suum legatum denuntiavit: *Imperat per me Dominus meus et Dominus tuus Attilas, uti sibi Palatium instruas.* Pari quoque modo, Theodosio Imperatori per quendam alium Gotthum legatum similia mandata transmisit. Quibus quidem auditis, Aëtius primus Romae Senator, cum intolerandam audaciam fatui ac inepti mandati Attilae accepisset, profectus est in Gallias ad Allarichum, Romanorum hostem propter Honorium, illumque in Attilam impulit, ut qui Romani imperii plurimas evertisset civitates. Illi e vestigio impressione in illum facta, cum is ad Danubium fluvium castra posuisset, multa millia de ejus exercitu ceciderunt. Inter pugnandum vero Allari-

σαγίττας τελευτᾷ. ὡσαύτως δὲ καὶ ὁ Ἀττίλας τελευτᾷ καταφορᾷ αἵματος διὰ τῶν ῥινῶν ἐνεχθεὶς νυκτὸς μετὰ Οὕννας παλλακίδος αὐτοῦ καθεύδων, ἥτις κόρη καὶ ὑπενοήθη ὅτι αὐτὴ ἀνεῖλεν B αὐτόν· περὶ οὗ πολέμου συνεγράψατο ὁ σοφώτατος Πρίσκος ὁ Θρᾷξ.

Λέγει ὅτι Κῦρος προεβλήθη ἐν Κωνσταντινουπόλει ἔπαρχος πραιτωρίων καὶ ἔπαρχος πόλεως. καὶ προήει μὲν ὡς ἔπαρχος πραιτωρίων εἰς τὴν καροῦχαν τῶν ἐπάρχων· ἀνεχώρει δὲ καθήμενος εἰς τὴν καροῦχαν τοῦ ἐπάρχου τῆς πόλεως· ἐκράτησεν γὰρ τὰς δύο ἀρχὰς ἐπὶ χρόνους τέσσαρας, διότι καθαρὸς ἦν πάνυ· καὶ αὐτὸς ἐπενόησεν τὰ ἑσπερινὰ φῶτα ἅπτεσθαι εἰς τὰ ἐργαστήρια, ὁμοίως καὶ τὰ νυκτερινά. καὶ ἔκραξαν αὐτῷ τὰ μέρη εἰς τὸ Ἱππικὸν ὅλην τὴν ἡμέραν, Κωνσταντῖνος ἔκτισεν, Κῦρος ἀνενέωσε. καὶ ἐχόλεσεν αὐτῷ ὁ βασιλεύς, ὅτι ταῦτα ἔκραξαν, καὶ C διεδέξατο αὐτὸν δημεύσας καὶ ἐποίησεν αὐτὸν κληρικὸν καὶ ἔπεμ-V 254 ψεν αὐτὸν ἐπίσκοπον εἰς Σμύρναν τῆς Ἀσίας· ἦσαν γὰρ οἱ τῆς πόλεως ἐκείνης ἤδη τέσσαρας ἐπισκόπους φονεύσαντες· καὶ ἵνα καὶ αὐτὸν Κῦρον ἀνέλωσιν. φθάσαντος δὲ αὐτοῦ τὴν πόλιν ἐν τοῖς ἁγίοις γενεθλίοις τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὑπονοήσαντες οἱ τῆς πόλεως Σμύρνης ὅτι ὡς Ἕλληνα αὐτὸν ὁ βασιλεὺς ἐκεῖ ἐπίσκοπον ἐποίησεν, ᾔτησαν αὐτὸν προσφωνῆσαι. ὅστις ἀναγκασθεὶς ὑπ' αὐτῶν ἀνέβη προσομιλῆσαι· καὶ μετὰ τὸ δοῦ-

1. καὶ om. P. 7. προήει μὲν ὡς] προειημένος V, προειρημένος P. 8. τῶν — καροῦχαν om. P. 13. καὶ Κωνσταντῖνος P. 14. ἐχώλεσεν P, ἐχόλεσεν V cum Malala p. 362. 1. Oportuerat ἐχόλησεν. Conf. annot. ad p. 98. D. 19. σωτῆρος] κυρίου P.

chus sagitta ictus interiit: similiter et Attilas, sanguine ex naribus erumpente extinctus est, dum cum Hunna pellice noctu dormiret. Quae quidem puella de ejus nece suspecta habita est. De hoc bello scripsit doctissimus Priscus Thrax.

Is porro ait Cyrum Praefectum Praetorio et Praefectum Urbi creatum esse. Idem vero praedictus Praefectus Praetorio in carruca Praefecti Urbi sedens, (hos enim geminos magistratus per IV. annos obtinuit, quod inculpatae prorsus esset vitae) processit. Ipsa etiam lumina vespertina in officinis, similiter et nocturna accendi adinvenit. Et acclamarunt illi Factiones in Circo, toto die: *Constantinus condidit*, *Cyrus renovavit*. Ob hasce acclamationes Cyro factas offensus Imperator, ipsique iratus, alium substituit, et bonis ejus publicatis, Clericum fieri coegit, misitque Smyrnam Asiae civitatem, ut ibi Episcopum ageret: cujus quidem urbis cives cum quatuor suos Episcopos jam interfecissent, Cyrum pariter perempturos persuasum habebat. Cum autem in urbem venisset Cyrus ipso Domini nostri Jesu Christi natali die, Smyrnenses suspicati, tanquam hominem paganum, ad se missum esse ab Imperatore

ναι εἰρήνην ἤρξατο λέγειν οὕτως, Ἀδελφοί, ἡ γέννησις τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ σιωπῇ τιμάσθω, ὅτι ἀκοῇ μόνον συνελήφθη ἐν τῇ ἁγίᾳ παρθένῳ· λόγος γὰρ ἦν. αὐτῷ ἡ D δόξα εἰς τοὺς αἰῶνας. ἀμήν. καὶ εὐφημηθεὶς κατῆλθεν, καὶ ἔμεινεν ἐκεῖ ἕως θανάτου αὐτοῦ.

Τούτῳ τῷ ἔτει ἔπαθε Κωνσταντινούπολις ἀπὸ σεισμοῦ μηνὶ αὐδυναίῳ ς′ καὶ κ′ νυκτὸς ἀπὸ τῶν λεγομένων Τρῳαδησίων Ἐμβόλων ἕως τοῦ χαλκοῦ Τετραπύλου ἐπὶ χρόνον, ὥστε μὴ τολ- R 738 μᾶν ἐν οἴκῳ τινὰ μένειν, ἀλλ' ἔφυγον ἔξω τῆς πόλεως πάντες λιτανεύοντες ἡμέρας καὶ νυκτός. καὶ ὁ βασιλεὺς ἐλιτάνευσε μετὰ τῆς συγκλήτου καὶ τοῦ ὄχλου καὶ τοῦ κλήρου ἀνυπόδετος ἡμέρας πολλάς. γέγονε γὰρ ἀπειλὴ μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρ- P 319 χῆς· τινὲς δὲ ἔλεγον καὶ πῦρ ἐν τῷ οὐρανῷ τεθεᾶσθαι. ὅθεν καὶ ἡ μνήμη κατ' ἔτος ἐπιτελεῖται τῆς λιτανείας μέχρι καὶ νῦν ἐν τῷ Κάμπῳ ὑπὲρ τῆς τοῦ φιλανθρώπου θεοῦ μακροθυμίας. ἐν γὰρ τοσαύτῃ ὀργῇ οὐδεὶς ἐθανατώθη.

Τούτῳ τῷ ἔτει ἐξῆλθεν Θεοδόσιος Αὔγουστος ἱππασθῆναι, καὶ ἐν τῷ ἱππάζεσθαι αὐτὸν συνέπεσεν ἐκ τοῦ ἵππου· καὶ πληγεὶς τὸν σφόνδυλον αὐτοῦ εἰσῆλθεν λεκτικίῳ ἀπὸ Λευκοῦ ποταμοῦ, καὶ καλέσας τὴν ἀδελφὴν αὐτοῦ τὴν δέσποιναν Πουλχερίαν

2. καὶ om. P. 10. ἐλιτάνευε P. 12. „*Repetuntur superiora*" (p. 317. B) Raderus. Conf. annot. ad p. 94. D. 13. θεᾶσθαι P. 14. λιτανίας PV. 19. Λευκοῦ] Λύκου Ducangius.

in Episcopum, petierunt ab eo ut pro concione verba faceret. Coactus ille ab iis, Ambonem conscendit verba facturus, paceque data, sic sermonem suum exorsus est: *Fratres, natalis Dei Salvatoris nostri Jesu Christi silentio colatur, quia solo auditu in Sancta Virgine conceptus est, erat enim Verbum: ipsi gloria in saecula, Amen.* Factaque acclamatione, descendit, ibique mansit usque ad mortem.

Hoc anno, magnam labem accepit Constantinopolis ex terrae motu mense Audynaeo, xxvi. die, noctu, a Troadensibus ita appellatis Porticibus, usque ad aereum Tetrapylum, sat diu, ita ut nemo auderet domi manere, sed omnes extra urbem fugerent, die ac nocte Litaniis vacantes. Sed et Imperator ipse cum Senatu ac plebe et Clero nudis pedibus per multos dies pariter supplicationes peregit: ingens enim extitit terror, et qualis nunquam fuerat. Quidam etiam affirmabant se ignem in coelo vidisse: unde anniversaria memoria istius supplicationis ad hoc usque tempus in Campo peragitur in gratiarum actionem pro Dei clementia. In tanta enim malorum trepidatione nemo extinctus est.

Hoc anno, cum Theodosius Augustus equitandi gratia urbem esset egressus, inter equitandum equo excidit, ac vertebram spinae luxavit. Lectica a Lyco fluvio in urbem illatus, ac Domina Pulcheria sorore advocata, cum ea de Marciano Ex-Tribuno verba habuit. Tumque rursum idem Imperator Theodosius Marciano, coram Aspare et reliquis Se-

εἶπεν αὐτῇ διὰ Μαρκιανὸν τὸν ἀπὸ τριβούνων. καὶ τότε πάλιν αὐτὸς ὁ βασιλεὺς Θεοδόσιος εἶπεν Μαρκιανῷ ἐπὶ Ἄσπαρος καὶ τῶν λοιπῶν συγκλητικῶν πάντων ὅτι Ἐφάνη μοι ὡς δεῖ σε γενέσθαι βασιλέα μετ' ἐμέ. καὶ μεθ' ἡμέρας τελευτᾷ ὁ αὐτὸς Θεοδόσιος, ὢν ἐτῶν να'.

Καὶ αὐτῷ τῷ ἔτει ἐσφάγη Χρυσάφις ὁ σπαθάριος εἰς τὴν πόρταν Μελαντιάδος.

Καὶ αὐτῷ τῷ ἔτει ἐπήρθη Μαρκιανὸς Αὔγουστος ἀπὸ τοῦ Κερκησίου ἐν τῷ Ἑβδόμῳ μηνὶ λώῳ πρὸ η' καλανδῶν σεπτεμβρίων ἡμέρᾳ πέμπτῃ. ἢ μόνον δὲ ἐβασίλευσεν, ἔγημε τὴν ἀδελφὴν
C Θεοδοσίου τοῦ νέου βασιλέως τὴν δέσποιναν Πουλχερίαν, παρθένον οὖσαν ἐτῶν νδ'.

Ῥωμαίων μβ' ἐβασίλευσεν Μαρκιανὸς ἔτη ζ'.

ὁμοῦ ἔτη ,εϡξς'.

Ἰνδ. δ'. α'. ὑπ. Μαρκιανοῦ Αὐγούστου καὶ Ἀδελφίου.

Πουλχερία ἡ γυνὴ Μαρκιανοῦ τοῦ βασιλέως τῶν ἁγίων τεσσαράκοντα τῶν ἐν Σεβαστείᾳ μαρτυρησάντων κατ' ὀπτασίαν εὑρίσκει τὰ λείψανα κατακρυπτόμενα εἰς τὸν οἶκον τοῦ ἁγίου Θύρσου ὄπισω τοῦ ἄμβωνος. καὶ ἀνεδομήσατο αὐτῶν οἶκον ἔξω
D τῶν τειχῶν τῶν Τρῳαδησίων Καισάριος ὕπατος καὶ ἔπαρχος.

R 740 V 255 τη' Ὀλυμπιάς.

Ἰνδ. ε'. β'. ὑπ. Σφωρακίου καὶ Ἑρκουλάνου.

6. τῷ αὐτῷ P. ib. Χρυσάφης PV. 9. Κερκεσίου PV. 10. ἢ de meo addidi. Conf. Malalas p. 367. 9. 11. νέου om. P. 17. Σεβαστίᾳ PV. 20. τῶν prius om. P. ib. ὕπαρχος PV.

Anni a m. c. nateribus, *Divinitus*, inquit, *mihi significatum est te in imperio mihi successurum.* Et post aliquot dies moritur idem Theodosius, cum annum ageret LI.

Eodem anno, interfectus est Chrysaphius Spatharius ad portam Melantiadis.

Eodem ipso anno, levatus est Marcianus Augustus a Circensibus, seu Factionibus, in Hebdomo, mense Loo, ex a. d. VIII. Kal. Septembr. feria V. Solus vero imperavit. Uxorem duxit Dominam Pulcheriam Theodosii Imperatoris sororem, virginem, annos natam LIV.

Romanis XLII. imperavit Marcianus annos VII. Colliguntur anni V. MDCCCCLXVI.

A. C. [Ol. Iph.]

5959. 451. I. Ind. IV. Marciano Augusto et Adelfio Coss. 3.

Pulcheria Marciani Imperatoris conjux, Sanctorum XL. Martyrum Sebastiae passorum per visum reliquias invenit, reconditas in aede Sancti Thyrsi, pone Ambonem: iisque aedem sacram extruxit extra muros Troadenses Caesarius Consul et Praefectus.

Ἔτους υκβʹ τῆς εἰς οὐρανοὺς ἀναλήψεως τοῦ κυρίου γέγονεν ἡ τετάρτη σύνοδος ἐν Χαλκηδόνι τῶν χλʹ ἁγίων πατέρων κατὰ τῶν μιαρῶν Εὐτυχοῦς καὶ Διοσκόρου ἐπισκόπου Ἀλεξανδρείας τῶν καὶ καθαιρεθέντων.

Ἰνδ. ϛʹ. γʹ. ὑπ. Βινκομάλου καὶ Ὀπιλίωνος.

Ἐπὶ τούτων τῶν ὑπάτων ἐτελεύτησεν ἡ δέσποινα Πουλχερία. P 320

Ἐπὶ τῶν προκειμένων ὑπάτων Βινκομάλου καὶ Ὀπιλίωνος, βασιλευόντων Οὐαλεντινιανοῦ καὶ Μαρκιανοῦ Αὐγούστων μηνὶ περιτίῳ πρὸ ιβʹ καλανδῶν μαρτίων τῇ μέσῃ ἑβδομάδι τῶν νηστειῶν ἔτους Συρομακεδόνων ψξγʹ, Ἀντιοχέων φαʹ, καὶ υκεʹ ἔτους ἀφʼ οὗ ἀπετμήθη ὁ ἅγιος πρόδρομος προφήτης καὶ βαπτιστὴς Ἰωάννης, ηὑρέθη ἡ τιμία αὐτοῦ κεφαλὴ ἐν τῇ Ἐμεσηνῶν πόλει.

Ἰνδ. ζʹ. δʹ. ὑπ. Ἀετίου καὶ Στουδίου.

Τούτῳ τῷ ἔτει βασιλεύοντος Ἀνθήμου ἐν Ῥώμῃ ἐκτίσθη B ὑπʼ αὐτοῦ ὁ οἶκος τοῦ ἁγίου Θωμᾶ, πλησίον τοῦ Βοραιδίου, ἐπιλεγόμενον τὸ Ἀποστολεῖον.

Ἰνδ. ηʹ. εʹ. ὑπ. Οὐαλεντινιανοῦ Αὐγούστου τὸ ηʹ καὶ Ἀνθήμου.

Τούτῳ τῷ ἔτει ἐσφάγη Οὐαλεντινιανὸς Αὔγουστος ἐν Ῥώμῃ

10. ψξγʹ] ψκδʹ Scaliger p. 290. Conf. Clinton. Fast. vol. II. p. 369.
12. Ἐμεσίων P, Ἐμεσινῶν V. 15. Βοραιδίου] Vide p. 323. D.
ib. λεγόμενον P. 16. τῶ Ἀποστολίω V. 17. Ἀνθημίου P.

A. C. [Ol. Iph.]

CCCVIII. Olympias.

452. II. Ind. V. Sphoracio et Herculano Coss. 4.

Anno CDXXII. Domini in coelum Assumptionis, acta est quarta Synodus Chalcedone DCXXX. Sanctorum Patrum contra scelestos Eutychen et Dioscorum Alexandriae Episcopum, qui depositi fuere.

453. III. Ind. VI. Vincomalo et Opilione Coss. 1. 308.

His Coss. obiit Domina Pulcheria.

Praedictis Vincomalo et Opilione Coss. imperantibus Valentiniano et Marciano Augustis, mense Peritio, ex a. d. XII. Kalend. Martias, media jejuniorum hebdomade, anno Syro-Macedonum DCCLXIII. Antiochenorum DI. et CDXXV. anno quo, postquam capite truncatus est sanctus Praecursor Propheta et Baptista Joannes, illius venerandum caput in Emesenorum civitate inventum est.

454. IV. Ind. VII. Aëtio et Studio Coss. 2.

Hoc anno, imperante Romae Anthemio, condita est ab illo aedes Sancti Thomae juxta Boraedium, quae Apostolium vulgo appellatur.

455. V. Ind. VIII. Valentiniano Augusto VIII. et Anthemio Coss. 3.

μέσον δύο δαφνῶν, καὶ ἐπήρθη βασιλεὺς Μάξιμος, καὶ ἐσφάγη καὶ αὐτὸς τῷ αὐτῷ ἔτει. καὶ εἰσῆλθεν Ζινζίριχος βασιλεὺς τῶν Ἄφρων εἰς Ῥώμην, καὶ παρέλαβεν Εὐδοξίαν τὴν γυναῖκα Οὐαλεντινιανοῦ καὶ τὰς δύο αὐτῆς θυγατέρας, Πλακιδίαν καὶ Ὁνω-
C ρίαν, ἃς μετ' ὀλίγον ἀγοράζει ἐκ τῆς αἰχμαλωσίας Λέων ὁ βασιλεύς. τὴν δὲ Ὁνωρίαν νύμφην ἐκράτησεν Ζινζίριχος εἰς Ὁνώριχον υἱὸν αὐτοῦ.

τθ' Ὀλυμπιάς.

Ἰνδ. θ'. ϛ'. ὑπ. Οὐαρανᾶ καὶ Ἰωάννου.

Ὁ βασιλεὺς Μαρκιανὸς ἐφίλει τὸ Βένετον μέρος οὐ μόνον ἐν Κωνσταντινουπόλει, ἀλλὰ καὶ πανταχοῦ. ὃς ταραχῆς γενομένης ὑπὸ τῶν τοῦ Πρασίνου μέρους, διάταξιν αὐτοῦ θείαν ἐξεφώνησεν μὴ πολιτεύεσθαι Πρασίνους μήτε στρατεύεσθαι ἐπὶ ἔτη γ'.

R 742 Ἰνδ. ι'. ζ'. ὑπ. Κωνσταντίνου καὶ Ῥούφου.

D Ἐπὶ τούτων τῶν ὑπάτων ἐτελεύτησεν Μαρκιανὸς Αὔγουστος, ὢν ἐτῶν ξε'. καὶ ἐπήρθη Λέων ὁ μέγας βασιλεὺς ὑπὸ τοῦ ἐξερκέτου μηνὶ περιτίῳ πρὸ ζ' ἰδῶν φεβρουαρίων, καὶ ἐβασίλευσεν ἔτη ιϛ'. ὁμοῦ ,εϡπβ'.

μγ' ἐβασίλευσε Ῥωμαίων Λέων ἔτη ιϛ'. ὁμοῦ ,εϡπβ'.

6. ὁ Ζινζίριχος P. 20. μγ' — ,εϡπβ' om. V.

A. C. [Ol. Iph.]

Hoc anno, Valentinianus Augustus Romae inter duas lauros est interfectus, levatusque Imperator Maximus, eodem anno occisus est. Et Romam ingressus est Gensericus Afrorum Rex, uxoremque Valentiniani Eudoxiam, et filias illius duas, Placidiam et Honoriam, secum abduxit, quas paullo post Leo Imperator ex captivitate redemit. Honoriam vero retinuit Gensericus pro filio suo Honoricho.

CCCIX. Olympias.

456. VI. Ind. IX. Varane et Joanne Coss. 4.

Marcianus Imperator Venetae Factioni favebat, non Constantinopoli duntaxat, sed et ubique. Is tumultu a Prasina Factione excitato, Sacram suam jussionem emisit, qua Prasini a publicis muneribus et a militia ad triennium arcebantur.

457. VII. Ind. X. Constantino et Rufo Coss. 1. 309.

His Coss. obiit Marcianus Augustus, annos tum natus LXV. levatusque est Imperator ab exercitu Leo Magnus, mense Peritio, ex a. d. VII. Idus Februarias, et imperavit annos XXI. Colliguntur anni V. MDCCCCLXXXII.

XLIII. imperavit Romanis Leo annos XVI. Colliguntur anni V. MDCCCCLXXXII.

Ἰνδ. ια΄. α΄. ὑπ. Λέοντος Αὐγούστου καὶ Μαϊουρίνου.
Ἰνδ. ιβ΄. β΄. ὑπ. Ῥεκιμέρου καὶ Πατρικίου.

Ἐπὶ τούτων τῶν ὑπάτων προήχθη ἔπαρχος πόλεως Θεοδόσιος· καὶ ἔκτισεν τὸ Αὐγουσταῖον ἐκ πλαγίων τῆς μεγάλης ἐκκλησίας. V 256 P 321

Τούτῳ δὲ τῷ ἐνιαυτῷ ἤρξατο Ἄσπαρ ὁ στρατηλάτης κτίζειν τὴν μεγίστην κιστέρναν πλησίον τοῦ παλαιοῦ τείχους.

τι΄ Ὀλυμπιάς.

Ἰνδ. ιγ΄. γ΄. ὑπ. Ἀπολλωνίου καὶ Μάγνου.
Ἰνδ. ιδ΄. δ΄. ὑπ. Δαγαλαΐφου καὶ Σευηριανοῦ.
Ἰνδ. ιε΄. ε΄. ὑπ. Λέοντος Αὐγούστου τὸ β΄ καὶ Σερπεντίου. B
Ἰνδ. α΄. ς΄. ὑπ. Βιβιανοῦ καὶ Βασιλείου.

Ἐπὶ τούτων τῶν ὑπάτων λεῖψις γέγονεν τοῦ ἄρτου, ὥστε πραθῆναι τὸν ἕνα ἄρτον φόλεων τριῶν.

τια΄ Ὀλυμπιάς.

Ἰνδ. β΄. ζ΄. ὑπ. Ῥουστικίου καὶ Ὀλυβρίου.

Τούτῳ τῷ ἔτει τελευτᾷ ὁ ἅγιος Συμεὼν ὁ στηλίτης, ὄντος τότε κόμητος ἀνατολῆς Ἀρδαβουρίου τοῦ πατρικίου τοῦ υἱοῦ Ἄσπαρος τοῦ στρατηλάτου. καὶ κραξάντων τῶν Ἀντιοχέων καὶ C αἰτησάντων τὸ σῶμα τοῦ δικαίου, ἔπεμψεν ὁ αὐτὸς Ἀρδαβού-

1. *Μαιωριανοῦ* P. 4. *τὸν* P. 6. *τῷ* om. R. 11. *Σερπεντίνου* P. 13. *τῶν*] *τῶν αὐτῶν* P. 17. *στυλίτης* PV cum Malala p. 369. 10.

A. C.				[Ol. Iph.]	Anni a.m.c.
458.	I.	Ind. XI.	Leone Augusto et Majoriano Coss.	2.	
459.	II.	Ind. XII.	Recimere et Patricio Coss.	3.	

His Coss. processit Praefectus Urbi Theodosius, conditque Augustaeum ad latus Magnae Ecclesiae.

Eodem anno, coepit Aspar Magister militum condere magnam Cisternam, juxta antiquum urbis murum.

CCCX. Olympias.

460.	III.	Ind. XIII.	Apollonio et Magno Coss.	4.	5968.
461.	IV.	Ind. XIV.	Dagalaipho et Severiano Coss.	1. 310.	
462.	V.	Ind. XV.	Leone Augusto II. et Serpentino Coss.	2.	
463.	VI.	Ind. I.	Viviano et Basilio Coss.	3.	

His ipsis Coss. ingens adeo extitit in urbe panis penuria, ut unicus tribus follibus venderetur.

CCCXI. Olympias.

464.	VII.	Ind. II.	Rusticio et Olybrio Coss.	4.	

Hoc anno, e vita excessit Sanctus Symeon Stylites, cum Ardaburius Patricius, Asparis Magistri militum filius, tum Comes esset Orientis. Et clamantibus ac petentibus civibus An-

ριος Γοτθικὴν βοήθειαν, καὶ ἤνεγκε τὸ λείψανον τοῦ ἁγίου Συμεῶνος ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ, καὶ ἐκτίσθη αὐτοῦ μαρτύριον οἶκος μέγας.

Ὀλύβριος πεμφθεὶς ἐν Ῥώμῃ ὑπὸ Λέοντος βασιλέως, καὶ βιασθεὶς ὑπὸ τῶν ἐκεῖσε Ῥωμαίων, ἐκεῖσε χειροτονεῖται βασιλεύς, καὶ ἔσχεν γυναῖκα Πλακιδίαν τὴν καὶ ἀγορασθεῖσαν, ἤγουν ἀναῤῥυσθεῖσαν, ἐκ τῆς αἰχμαλωσίας. οὗτοι κτίζουσι τὴν ἁγίαν Εὐφημίαν τὰ
R 744 D Ὀλυβρίου. καὶ γεννᾷ ἐξ αὐτῆς Ὀλύβριος Ἰουλιάναν τὴν γενομένην γυναῖκα Ἀρεοβίνδου τοῦ μεγάλου τοῦ μονομαχήσαντος ἐν Περσίδι, ἐξ ὧν γεννᾶται Ὀλύβριος ὁ μικρός.

Ἰνδ. γ'. η'. ὑπ. Βασιλίσκου καὶ Ἀρμεναρίχου.

Ἐπὶ τούτων τῶν ὑπάτων Μηνᾶς, νυκτέπαρχος ὤν, κατηγορηθεὶς ἐπὶ φαύλοις πράγμασιν, ἠρωτήθη ἐν τῷ Ἱππικῷ ἀπὸ τῆς συγκλήτου, καὶ κατὰ κέλευσιν τοῦ βασιλέως ἐπὶ τῆς βαθείας τοῦ Ἱππικοῦ καμπτοῦ παιδίον αὐτὸν ἐσκέλισεν καὶ ἔῤῥιψεν ἐπὶ
P 322 πρόσωπον, καὶ λαβὼν αὐτὸν ὁ δῆμος ἤρξαντο σύρειν. ἰδόντες δὲ οἱ ἄρχοντες τὸ γεγονός, φοβηθέντες ἀνεχώρησαν. καὶ ἔσυραν ἐκεῖνον ἕως τῶν οἴκων τοῦ Στουδίου· καὶ λαβὼν εἷς Γότθος λίθον ἔδωκεν αὐτὸν κατὰ τῆς ἀκοῆς, καὶ ἐθανάτωσεν αὐτόν. καὶ ἐσύρη ἀπὸ τοῦ δήμου τὸ σκήνωμα αὐτοῦ ἕως θαλάσσης.

1. Γοθικὴν R. Sic et infra. 5. Alterum ἐκεῖσε om. P. 6. ἀναρυσθεῖσαν PV. 15. ἐσκέλισεν Ducangius, ἐσκέλλησεν PV.

A. C. [Ol. Iph.]

tiochenis corpus viri istius Justi, misit Ardaburius Gotthicam praesidium, illudque detulit Antiochiam magnam, ubi conditum est illius Martyrium, aedes amplissima.

Olybrius Romam missus a Leone Imperatore, a Romanis invitus coronatur Imperator, ducta uxore Placidia illa, quae a barbaris redempta, seu a captivitate liberata fuerat. Hi condiderunt aedem sacram Sanctae Euphemiae, Olybrii nuncupatam. Genuit autem Olybrius ex Placidia Julianam, conjugem Areobindi, magni illius viri, qui in Perside singulari certamine cum hoste est congressus: ex quibus natus est Olybrius minor.

465. VIII. Ind. III. Basilisco et Armenaricho Coss. 1. 311.

His Coss. Menas cum Praefectum Vigilum ageret, postulatus est reus de aliquot pravis actis, interrogatusque a Senatu in Circo, jussu Imperatoris in imam, qua is flectitur, partem, caesum ac debilitatum, in faciem quidam dejecit, huncque arreptum populus coepit trahere, (hisce conspectis, recedentibus interea cum pavore judicibus) ipsumque ad aedes usque Studii pertraxit, ubi Gotthus quidam saxum in aurem impegit, eumque morti dedit, cujus cadaver a populo usque ad mare tractum est.

Post dies autem XXX. conflagrarunt ex Dei vindicta ur-

Μεθ' ἡμέρας δὲ τριάκοντα ἐκάησαν τῆς πόλεως ἀπὸ θεομηνίας ῥεγεῶνες η' μηνὶ γορπιαίῳ σεπτεμβρίου β', ἡμέρᾳ δ', ἰνδικτιῶνος γ', ἐν τῇ συνάξει τοῦ ἁγίου Μαμᾶ.

Ἰνδ. δ'. θ'. ὑπ. Λέοντος Αὐγούστου τὸ γ' μόνου.

Ἰνδ. ε'. ι'. ὑπ. Πουσαίου καὶ Ἰωάννου.

Ἐπὶ τούτων τῶν ὑπάτων κατηγορήθη Ἰσοκάσιος ὁ φιλόσο- B φος καὶ κυεστόριος, ὡς Ἕλλην, ὅστις κατήγετο μὲν ἐκ γένους Αἴγεος τῆς Κιλικίας, ἦν δὲ κτήτωρ Ἀντιοχείας τῆς μεγάλης καὶ οἰκήτωρ, ὅστις διήνυσεν ἀρχὰς πολλὰς μετὰ δόξης· ἦν δὲ σφόδρα λογικός. καὶ συσχεθεὶς κατὰ κέλευσιν τοῦ βασιλέως διὰ τὴν V 257 τότε γενομένην ἀταξίαν ἐν Κωνσταντινουπόλει, ἀποζωσθεὶς τῆς ἀξίας αὐτοῦ παρεπέμφθη ἐν Χαλκηδόνι, πέραν τῆς Κωνσταντινουπόλεως, τῷ ἄρχοντι Βιθυνίας Θεοφίλῳ, ὅστις καὶ τὰς φωνὰς αὐτοῦ ἔλαβεν. Ἰάκωβος δὲ ὁ Κίλιξ ἀρχιητρὸς ὢν τῆς πόλεως, ὁ λεγόμενος ψυχριστός, παρεκάλεσε τὸν βασιλέα. ἐφίλει γὰρ αὐτὸς ὁ Λέων αὐτὸν τὸν ψυχριστὸν καὶ πᾶσα ἡ σύγκλητος καὶ ἡ πόλις, ὡς ἄριστον ἰατρὸν καὶ φιλόσοφον, ᾧτινι οἱ συγκλη- C τικοὶ καὶ εἰκόνας αὐτοῦ ἔστησαν ἐν τῷ Ζευξίππῳ. οὗτος ἐδυσώπησεν τὸν βασιλέα, αἰτῶν αὐτὸν ἐν Κωνσταντινουπόλει τὸν Ἰσοκάσιον ἐξετασθῆναι παρὰ τῆς συγκλήτου καὶ τοῦ ἐπάρχου τῶν πραιτωρίων καὶ μὴ παρὰ ἄρχοντι ἐπαρχίας, ἐπειδὴ κυεστορίου εἶχεν ἀξίαν. καὶ πεισθεὶς ὁ βασιλεὺς Λέων ἐκέλευσεν ἐνεχθῆναι

2. σεπτέμβρίῳ R. 8. Αἴγεος om. P; Αἰγεώτης Malalas p. 369. 19. 14. ὢν om. P. 16. αὐτὸς] αὐτὸν RV.

A. C. [Ol. Iph.]

bis Regiones octo, mense Gorpiaeo, Septembris II. Feria IV. Ind. III. die Sancto Mamanti sacro.

466. IX. Ind. IV. Leone Augusto III. solo Coss. 2.

467. X. Ind. V. Pusaeo et Joanne Coss. 3.

His Coss. delatus est Isocasius Philosophus, vir Quaestorius, ut paganus: qui quidem gente Cilix erat, civis vero et habitator magnae Antiochiae, quique multos magistratus cum laude obierat, magna caeterum vir prudentia. Comprehensus ille jussu Imperatoris propter turbas Constantinopoli tum ortas, abrogata illius dignitate, missus est Chalcedonem, trans Constantinopolim, ad Theophilum Bithyniae Praetorem, qui delata in eum testimonia excepit. Sed Jacobus Cilix, Urbis Archiater, cognomento Psychristus, erga Imperatorem pro eo precator intervenit. Amabat enim illum Leo, ac Senatus universus, ipsaque civitas, veluti praestantissimum Medicum, et Philosophum, cui etiam Senatus statuas posuit in Zeuxippo. Hic, inquam, Imperatorem deprecatus est, ut Isocasii causam a Senatu et Praefecto Praetorio, non vero a Praeside Provinciae cognosci pateretur, ut qui Quaestoriam dignitatem gessisset. Exoratus Imperator Isocasium Chalcedone reduci in urbem prae-

R 746 τὸν Ἰσοκάσιον ἀπὸ Χαλκηδόνος, καὶ εἰς τὸν Ζεύξιππον προνεχθεὶς ἐξητάζετο ἀπὸ τοῦ ἐπάρχου τῶν πραιτωρίων καὶ ὑπάτου Πουσαίου. καὶ διελάλησεν ὁ αὐτὸς Πουσαῖος κατὰ τοῦ Ἰσοκασίου, εἰσελθόντος πρὸ βηλοῦ γυμνοῦ, δεδεμένου ὀπισθάγκωνα, D ταῦτα· Ὁρᾷς ἑαυτόν, Ἰσοκάσιε, ἐν ποίῳ σχήματι καθέστηκας; καὶ ἀποκριθεὶς Ἰσοκάσιος εἶπεν, Ὁρῶ, καὶ οὐ ξενίζομαι; ἄνθρωπος γὰρ ὢν ἀνθρωπίναις περιέπεσα συμφοραῖς. ἀλλὰ δίκῃ δίκασον ἐπ' ἐμοὶ ὡς ἐδίκαζες σὺν ἐμοί. καὶ ἀκούσας τοῦ Ἰσοκασίου ὁ δῆμος τῶν Βυζαντίων ὁ ἑστὼς καὶ θεωρῶν, εὐφήμησε τὸν βασιλέα Λέοντα πολλά· καὶ ἀποσπάσαντες τὸν αὐτὸν Ἰσοκάσιον ἀπήγαγον αὐτὸν ἀπὸ τοῦ Ζευξίππου εἰς τὴν μεγάλην ἐκκλησίαν, καὶ κατηχηθεὶς ἐφωτίσθη καὶ ἐπέμφθη εἰς τὴν χώραν αὐτοῦ.

Ὁ δὲ αὐτὸς θειότατος βασιλεὺς τὰς κυριακὰς ἀπράκτους P 323 ἐκέλευσε γίνεσθαι, ἐκφωνήσας περὶ τούτου θεῖον αὐτοῦ νόμον, ἵνα μήτε αὐλὸς ἢ κιθάρα ἢ ἄλλο τι μουσικὸν λέγειν ἐν κυριακῇ, ἀλλὰ πάντα ἀργεῖν. καὶ πᾶς ἄνθρωπος ἠνέσχετο.

Τούτῳ τῷ ἔτει τυραννίδα μελετήσαντα Ἄσπαρα τὸν πατρίκιον καὶ πρῶτον τῆς συγκλήτου ἐφόνευσεν ἐν τῷ παλατίῳ ἔσω, καὶ Ἀρδαβούριον καὶ Πατρίκιν τοὺς υἱοὺς αὐτοῦ ἐν κομβένδῳ, καὶ αὐτοὺς συγκλητικοὺς ὄντας, κατακόψας τὰ σώματα αὐτῶν. καὶ ἐγένετο ἐν Κωνσταντινουπόλει ταραχή· εἶχαν γὰρ πλῆθος Γότθων καὶ κόμητας καὶ ἄλλους παῖδας παρα-

1. τὸν prius om. P. 4. πρὸ βηλοῦ] πρὸ δήλου PV, πρὸ βήματος Malalas p. 370. 17. 6. εἶπεν post ξενίζομαι ponit P. 7. δίκῃ] καθαρᾷ addit Malalas. 13. δὲ om. P. 15. μήτε] μὴ P. 17. μελετήσαντα Labbeus ad Candidum p. 582 ed. Bonn. et Ducangius, μελετήσας τις PV. 18. καὶ Ducangius, ὡς PV. 19. Ἀρδαβάριν καὶ Πατρίκιον P. 21. εἶχαν] εἶχον P. Vide p. 140. B.

A. C. [Ol. Iph.]

cepit: qui deductus in Zeuxippum, a Praefecto Praetorio et Consule Pusaeo examinatus est: quo palam ingrediente nudo, vinctisque post tergum manibus: Pusaeus sic adversus illum est interlocutus: *Vides, Isocasi, quali habitu hic adstes?* Ad quae Isocasius: *Video*, inquit, *neque miror, homo enim cum sim, in humanas calamitates incidi. Tu vero ita mihi jus dicito, sicut me collega solebas dicere.* Quae quidem Isocasii ubi populus Byzantinus qui ibi stabat et quae gerebantur spectabat, audivit, Leonem Imperatorem saepius faustis acclamationibus prosecutus, arreptum Isocasium a Zeuxippo deduxit ad Magnam Ecclesiam: ac elementa fidei edoctus, et sacro baptismo donatus, domum remissus est.

Idem sanctissimus Imperator diebus Dominicis ab opere cessari sanxit, edicta ac promulgata hac super re Sacra sua constitutione, et ut nulla tibia vel cithara, aliudve quidpiam musicum die Dominico cantaretur, sed omnia cessarent. Ac universi ferias egerunt.

Hoc anno, quidam tyrannidem meditatus, Asparem Patricium et Principem Senatus intra Palatium interfecit: Ardaburium pariter et Pa-

μένοντας αὐτοῖς. ὅθεν εἷς Γότθος τῶν διαφερόντων αὐτῷ Ἄσπα- B
ρι, ὀνόματι Ὄστρους, κόμης, εἰσῆλθεν εἰς τὸ παλάτιον τοξεύων
μετὰ ἄλλων Γότθων, καὶ συμβολῆς γενομένης μετὰ τῶν ἐξκου-
βιτώρων καὶ Ὄστρου κόμητος πολλοὶ ἐκόπησαν. καὶ μεσασθεὶς
εἶδεν ὅτι ἡττήθη, καὶ ἔφυγεν λαβὼν τὴν παλλακίδα Ἄσπαρος, εὐπρεπεστάτην οὖσαν καὶ εὔπορον Γότθαν, ἥτις ἔφιππος ἅμα αὐτῷ ἐξῆλθεν ἐπὶ τὴν Θρᾴκην, καὶ ἐπραίδευσεν τὰ χωρία, περὶ οὗ ἔκραξαν οἱ Βυζάντιοι, Νεκροῦ φίλος οὐδείς, εἰ μὴ μόνος Ὄστρους.

Ὁ αὐτὸς βασιλεὺς Λέων διωγμὸν μέγαν ἐποίησε τοῖς τοῦ
δόγματος τῶν Ἀρειανῶν ἐξωκιονιτῶν. καὶ διατάξεις πανταχοῦ C
ἔπεμψεν μὴ ἔχειν αὐτοὺς ἐκκλησίας ἢ ὅλως συνάγεσθαι.

Τῷ αὐτῷ ἔτει ἐφάνη ἐν τῷ οὐρανῷ σημεῖον μέγιστον, ἀπὸ R 748
τινων λεγόμενον σάλπιγξ, ἀπό τινων δὲ λογχίας, καὶ ἀπό τινων V 258
δοκίς· ἐφάνη δὲ ἐπὶ ἡμέρας τινάς.

Τῷ αὐτῷ ἔτει ἐβασίλευσεν Ἀνθήμιος, καὶ ἀπῆλθεν εἰς Ῥώμην· καὶ εἰσῆλθεν τὰ λαβρᾶτα αὐτοῦ ἐν Κωνσταντινουπόλει ὑπὸ Διαφερεντίου ἐπάρχου πόλεως.

τιβ' Ὀλυμπιάς.

Ἰνδ. ϛ'. ια'. ὑπ. Ἀνθημίου Αὐγούστου τὸ β' μόνου. D

2. 9. Ὄστρος P. 3. τῶν ἄλλων P. ib. συμβουλῆς R. 5. ἴδεν P. 7. ἐπραίδευσαν P. 8. οὐδεὶς φίλος P. 10. Λέων βασιλεὺς P. ibid. μέγα V. 13. ἄπι V. 14. λοχίας V. ibid. καὶ om. P. 15. δὲ post ἡμέρας ponunt PV. 16. τούτῳ τῷ ἔτει P. 18. ὑπὸ Διαφερεντίου] διὰ Φερεντίου P.

tricium, illius filios, viros Senatorios, in Conventu, eorum corporibus in frusta concisis. Unde tumultus extitit Constantinopoli: magnam enim habebant Gotthorum copiam, et Comites, aliosque famulos qui sibi praesidio erant. Unde Gotthus quidam ex Asparis familiaribus, Ostrus Comes nomine, Palatium ingressus est una cum aliis Gotthis sagittas emittens: pugnaque inita inter Excubitores et Ostrum Comitem, multi interfecti sunt. Tandem cum circumveniretur, videretque se hostibus imparem, arrepta Asparis pellice Gottha, singulari forma praedita, ac divite, et una cum illo equo vecta, in Thraciam perrexit, regiones subinde populatus: de quo Byzantii haecce inclamabant: *Mortui nemo amicus, nisi solus Ostrus.*

Idem Leo Imperator graviter persecutus est haereticos Arianos Exocionitas, ac missis ubique edictis, vetuit illos habere Ecclesias, atque ullos conventus agere.

Eodem anno, maximum in coelo signum apparuit, quod a quibusdam Tuba, ab aliis Hasta, ab aliis denique Trabs appellatur, visumque est per aliquot dies.

Eodem anno, imperavit Anthemius, et Romam profectus est: illiusque Laureatae imagines Constantinopolim illatae sunt per Ferentium Praefectum urbi.

Οὗτος Ἀνθήμιος δομεῖται τὸν οἶκον τοῦ ἁγίου Θωμᾶ τοῦ ἀποστόλου, τὰ λεγόμενα Ἀνθημίου, πλησίον τῶν Βοῤῥαΐδου.

Ἐπὶ τούτου τοῦ προκειμένου ὑπάτου Δινζίριχος, υἱὸς Ἀττίλα, ἐσφάγη ὑπὸ Ἀναγάστου τοῦ στρατηλάτου Θρᾴκης, καὶ εἰσῆλθεν ἡ κεφαλὴ αὐτοῦ εἰς Κωνσταντινούπολιν ἱππικοῦ ἀγομένου, καὶ ἐπόμπευσεν διὰ τῆς μέσης, καὶ ἀπηνέχθη εἰς τὸν Ξυλόκιρκον καὶ ἐπάγη ἐν ξύλῳ· καὶ ἐξῆλθε πᾶσα ἡ πόλις εἰς θέαν αὐτῆς ἐπὶ ἡμέρας ἱκανάς.

P 324 Ἰνδ. ζʹ. ιβʹ. ὑπ. Ζήνωνος καὶ Μαρκιανοῦ.

Τούτῳ τῷ ἔτει ἔβρεξεν ἐν Κωνσταντινουπόλει κονίαν ἀντὶ βροχῆς· ἐπὶ παλαιστὴν ὕψους ἐτέθη εἰς τὰς κεράμους ἡ κονία. καὶ πάντες ἔτρεμον λιτανεύοντες καὶ λέγοντες ὅτι Πῦρ ἦν καὶ ἐσβέσθη, καὶ ηὑρέθη κόνις τοῦ θεοῦ φιλανθρωπευσαμένου μηνὶ δίῳ νοεμβρίου ιαʹ.

Τούτῳ τῷ ἔτει ἐγένετο ἐμπρησμὸς μέγας ἐν Κωνσταντινουπόλει οἷος οὐδέποτε· ἐκάη γὰρ ἀπὸ θαλάσσης ἕως θαλάσσης. καὶ φοβηθεὶς Λέων ὁ βασιλεὺς ἐξῆλθεν πέραν εἰς τὸν ἅγιον Μαμᾶν, καὶ ἐποίησεν ἐκεῖ πρόκεσσον μῆνας ἕξ, καὶ ἔκτισεν ἐκεῖ λιμενάριον B καὶ ἔμβολον, ὅστις οὕτω καλεῖται ὁ τόπος, Νέος ἔμβολος.

Ἰνδ. ηʹ. ιγʹ. ὑπ. Γορδιανοῦ καὶ Σεβήρου.

2. Βοῤῥαϊδίου P. 3. Γινζίριχος R. ib. Ἀττιλᾶ R, Ἀτιλᾶ P.
6. τὸν] τὸ P. 12. ἦν om. R. 18. πρόκεσσον — ἐκεῖ om. P.

A. C. [Ol. Iph.]

CCCXII. Olympias.

468. xi. Ind. vi. Anthemio Augusto II. solo Cos. 4.

Hic Anthemius aedificavit aedem Sancti Thomae Apostoli, quae Anthemii dicitur, juxta locum Borraidii.

Eodem praedicto Cos. Dinsirichus, Attilae filius, ab Anagasto Magistro militum Thraciae caesus est, cujus caput allatum est Constantinopolim, dum Circenses agerentur, et per mediam urbis plateam traductum, et ad Xylocircum delatum, paloque infixum est: ad quod spectaculum urbs universa egressa est per aliquot dies.

469. xii. Ind. vii. Zenone et Marciano Coss. 1. 312.

Hoc anno, Constantinopoli, imbris vice, cinis depluit, et iv. digitos altus supra tegulas resedit, adeo ut omnes terrefacti supplicationes agerent, ac dicerent, ignem esse et extinctum esse, et cinerem inventum, Deo genus humanum miserante, mense Dio, Novembris xi.

Eodem anno, tantum Constantinopoli extitit incendium, quantum ante nunquam: conflagravit enim civitas a mari usque ad mare. Territus ergo Leo Imperator contulit se versus Fretum ad Sanctum Mamantem, fecitque ibi Portum et Porticum, qui quidem locus vocatur Nova porticus.

Ἰνδ. θ'. ιδ'. ὑπ. Λέοντος τὸ δ' καὶ Προβιανοῦ.

τιγ' Ὀλυμπιάς.

Ἰνδ. ι'. ιε'. ὑπ. Μαρκιανοῦ καὶ Φήστου.

Ἰνδ. ια'. ις'. ὑπ. Λέοντος τὸ ε' μόνον.

Μετὰ τελευτὴν Λέοντος τοῦ μεγάλου Ῥωμαίων μγ' ἐβασίλευσεν Λέων νέος Αὔγουστος ἔτος α'. R 750

ὁμοῦ ,ερπγ'.

Ἰνδ. ιβ'. α'. ὑπ. Λέοντος νέου μόνου. C

Οὗτος Λέων ὑποβληθεὶς ὑπὸ τῆς ἰδίας αὐτοῦ μητρὸς τῆς ἐπιφανεστάτης Ἀριάδνης, ὡς προσκυνεῖ αὐτὸν ὡς βασιλέα Ζήνων ὁ στρατηλάτης καὶ πατρίκιος, ὁ αὐτοῦ πάππος, ἐπέθηκε στέφανον βασιλικὸν ἐπὶ τὴν κεφαλὴν τοῦ αὐτοῦ Ζήνωνος· καὶ ἐβασίλευσεν Ζήνων ὁ Κοδισσεὺς ὁ Ἴσαυρος μετὰ τοῦ ἰδίου ἐκγόνου Λέοντος ὀλίγον χρόνον. καὶ τῷ ια' μηνὶ τῆς αὐτοῦ ὑπατείας ἀῤῥωστήσας Λέων νέος μηνὶ δίῳ τῷ καὶ νοεμβρίῳ ἐτελεύτησεν, ὢν ἐτῶν ιζ', καθὼς Νεστοριανὸς ὁ σοφώτατος χρονογράφος ἕως Λέοντος νέου συνεγράψατο. D

Ῥωμαίων μδ' ἐβασίλευσεν Ζήνων Αὔγουστος ἔτη ιζ'.

ὁμοῦ ,ς.

Ἰνδ. ιγ'. α'. ὑπ. Ζήνωνος Αὐγούστου τὸ β' μόνον.

5. Λέοντος τοῦ μεγάλου] τοῦ Λέοντος P. 12. Κοδισσεὺς P. ib. ἐκγόνου] ἐγκόνου R, ἐγγόνου P.

A. C. [Ol. Iph.] Anni a m. c.

470. XIII. Ind. VIII. Gordiano et Severo Coss. 2.

471. XIV. Ind. IX. Leone IV. et Probiano Coss. 3.

CCCXIII. Olympias.

472. XV. Ind. X. Marciano et Festo Coss. 4.

473. XVI. Ind. XI. Leone V. solo Cos. 1. 313.

Post mortem Leonis, Romanis XLIII. imperavit Leo Junior Augustus an. I. Collig. an. V. MDCCCCLXXXIII.

474. I. Ind. XII. Leone Juniore solo Cos. 2. 5982.

Hic Leo, a suamet matre Nobilissima Ariadne ad hoc monitus, cum a Zenone Magistro militum et Patricio, avo suo, tanquam Imperator salutaretur, coronam Imperatoriam ipsius Zenonis capiti imposuit: et imperavit Zeno Codiseus Isaurus cum nepote suo Leone exiguo tempore. Quippe XI. Consulatus sui mense, morbo correptus Leo junior, mense Dio, seu Novembri, decessit cum XVII. aetatis annum attigisset, quemadmodum scripsit Nestorianus doctissimus Chronographus, qui historiam usque ad Leonem Juniorem perduxit.

Romanis XLIV. imperavit Zeno Augustus annos XVII. Colliguntur anni VI. M. 5999.

475. I. Ind. XIII. Zenone Augusto solo II. Cos. 3.

V 259 τιδʹ Ὀλυμπιάς.

Ἰνδ. ιδʹ. βʹ. Βασιλίσκου καὶ Ἀρμάτου.

Ἰνδ. ιεʹ. γʹ. ὑπ. Βασιλίσκου καὶ Ἀρμάτου.

P 325 Ζήνων ὁ βασιλεὺς αἰτηθεὶς πρᾶγμα παρὰ τῆς πενθερᾶς αὐτοῦ Βηρίνης, καὶ μὴ παρασχών, κατεσκευάσθη παρ' αὐτῆς· καὶ φοβηθεὶς μὴ σφαγῇ ἀπό τινος τῶν τοῦ παλατίου, σὺν αὐτῷ γὰρ οἴκει ἐν τῷ παλατίῳ καὶ ἡ πενθερὰ αὐτοῦ Βηρῖνα, ποιήσας πρόκεσσον ἐν Χαλκηδόνι, ἐκεῖθεν ἔφυγεν βερέδοις, καὶ ἀπῆλθεν εἰς τὴν Ἰσαυρίαν, ὡς ἦν βασιλεύς. ὅντινα κατέλαβε φυγοῦσα τὴν ἰδίαν αὐτῆς μητέρα λάθρᾳ ἡ βασίλισσα Ἀριάδνη εἰς τὴν Ἰσαυρίαν, καὶ διῆγεν ἐκεῖσε ἅμα τῷ ἰδίῳ ἀνδρί.

Καὶ μετὰ τὸ φυγεῖν Ζήνωνα τὸν βασιλέα καὶ Ἀριάδνην τὴν
B Αὔγουσταν εὐθέως προεχειρίσατο ἡ δέσποινα Βηρῖνα βασιλέα στέψασα Βασιλίσκον τὸν ἴδιον αὐτῆς ἀδελφόν. καὶ ἐβασίλευσεν ὁ αὐτὸς Βασιλίσκος ἔτη δύο, ἅτινα συναριθμοῦνται σὺν τοῖς πρώτοις καὶ τοῖς μετὰ ταῦτα Ζήνωνος ἔτεσιν.

Ὁ δὲ Βασιλίσκος ἅμα ἐβασίλευσεν, ἔστεψε τὸν ἑαυτοῦ υἱὸν Μάρκον εἰς βασιλέα, καὶ ἐβασίλευσαν οἱ δύο ἅμα.

R 752 Ἰνδ. αʹ. δʹ. ὑπ. Ἴλλου μόνου.

Τούτῳ τῷ ἔτει ἐπανῆλθε Ζήνων ὁ βασιλεὺς μετ' ὄχλου πολλοῦ ἐκ τῆς Ἰσαυρίας. ὁ δὲ Βασιλίσκος μαθὼν τὴν τοῦ βα-

6. ὑπὸ P. 7. ᾤκει P. 8. βερένδοις R, alterum in m. ponens. 13. Βηρίνη P.

A. C. [Ol. Iph.]

CCCXIV. Olympias.

476. II. Ind. XIV. Basilisco et Armato Coss. 4.
477. III. Ind. XV. Basilisco et Armato Coss. 1. 314.

Zeno Imperator petitus rem quampiam a socru sua Verina, eaque denegata, ab illa insidiis est appetitus: veritusque ne ab aliquo e Palatinis interficeretur, (in Palatio quippe una habitabat illius socrus Verina) Chalcedonem concessit, velut illic moraturus, atque inde conscensis veredis, arrepta fuga in Isauriam, ipse licet Imperator, abiit: quem Imperatrix Ariadne, fugiens matrem suam, in Isauriam clam secuta est, ibique cum conjuge suo degit.

Zenone Imperatore et Ariadne Augusta sic fuga dilapsis, statim Domina Verina Basiliscum, fratrem suum, Imperatorem renuntiavit ac coronavit. Ipse vero annos II. imperavit, qui adscribuntur prioribus ac posterioribus annis Zenonis.

Porro Basiliscus simul ac imperavit, Marcum filium suum Imperatorem dixit, ac uterque una imperavit.

478. IV. Ind. I. Illo solo Cos. 2.

Hoc anno, Zeno Imperator cum ingentibus copiis ex Isauria rediit. Basiliscus vero accepto Zenonis Imperatoris reditu, misit Armatum Ma-

σιλέως Ζήνωνος ἐπάνοδον, ἔπεμψεν Ἀρμᾶτον τὸν στρατηλάτην C
τοῦ πραισέντου μετὰ πάσης ἧς εἶχεν βοηθείας τοῦ στρατοῦ εἰς
τὴν Θρᾴκην καὶ εἰς Κωνσταντινούπολιν καὶ τὸ παλάτιον, ὁρκώ-
σας αὐτὸν εἰς τὸ ἅγιον βάπτισμα μὴ προδοῦναι. καὶ λαβὼν τὸ
ἄπειρον πλῆθος τοῦ στρατοῦ ὁ Ἀρμᾶτος ἐπέρασεν. καὶ τοῦτο
προμαθὼν Ζήνων ὁ βασιλεὺς ἔπεμψεν πρὸς αὐτὸν Ἀρμᾶτον,
ἐπαγγειλάμενος αὐτῷ πολλὰ καὶ τὴν στρατηλασίαν τοῦ πραισέν-
του ἕως τῆς αὐτοῦ ζωῆς καὶ τὸν υἱὸν αὐτοῦ ποιεῖν Καίσαρα. καὶ
προτραπεὶς Ἀρμᾶτος ὑπὸ Ζήνωνος τοῦ βασιλέως προέδωκεν, εὑ-
ρεθεὶς εἰς τὸ μέρος Ζήνωνος τοῦ βασιλέως, καὶ οὐχ ὑπήντησεν
Ζήνωνι ἐρχομένῳ, ἀλλὰ δι' ἄλλης ὁδοῦ ἔδοξεν ἀπιέναι. ὁ δὲ D
βασιλεὺς Ζήνων μετὰ τῆς αὐτοῦ βοηθείας διὰ τῆς ὁδοῦ τῆς Ἰσαυ-
ρίας ἐξορμήσας ἐπέρασεν ἀπὸ τῶν λεγομένων Πυλῶν, καὶ εἰσῆλ-
θεν ἐν Κωνσταντινουπόλει εἰς τὸ παλάτιν μετὰ τῶν ἰδίων, καὶ
ἐδέχθη ἀπὸ τῶν στρατευμάτων καὶ τῆς συγκλήτου. ἀκούσας
δὲ ἐξαίφνης Βασιλίσκος ὁ βασιλεὺς ὅτι Ζήνων ὁ βασιλεὺς εἰς τὸ
παλάτιν ὥρμησεν καὶ εἰσῆλθεν, καὶ ὅτι ἐδέξαντο αὐτὸν πάντες
καὶ Βηρῖνα ἡ δέσποινα ἡ αὐτοῦ πενθερά, λαβὼν Βασιλίσκος τὴν
γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα ἔφυγεν εἰς τὴν μεγάλην ἐκκλησίαν
Κωνσταντινουπόλεως εἰς τὸ μέγα φωτιστήριον. ὁ δὲ θειότατος
Ζήνων παρασχὼν τὸ βῆλον τοῦ ἱππικοῦ, εὐθέως ἀνελθὼν ἐθεώ- P 326
ρησεν, καὶ ἐδέχθη ὑπὸ τῶν τῆς πόλεως. καὶ εὐθέως πέμψας ὁ

6. μαθὼν P. 8. ποιεῖν om. P. 10. οὐχ ἠπήντησεν P, οὐκ ὑπήντησεν V. 11. τῷ Ζήνωνι P. 14. 17. παλάτιον P. 18. Βηρίνη P.

gistrum Militum Praesentalem cum universo quem habebat exercitu, tum in Thraciam, tum Constantinopolim, et in Palatium, exacto prius ab eo in sanctum Baptisma sacramento, se minime defecturum. Armatus assumptis innumeris copiis exercitus, trajecit. Quod ubi Zeno Imperator intellexit, misit ad ipsum Armatum, multa illi pollicitus, ac in primis Magistri Militum Praesentalis, quoad viveret, dignitatem, filiumque illius Caesarem se facturum. Hisce pollicitationibus illectus Armatus defecit, Zenonis Imperatoris partibus favere deprehensus, cum nec venienti occurrerit Zenoni, sed alia via abire visus sit. Imperator autem Zeno cum copiis suis, arrepto Isauriae itinere profectus, a Pylis, ita appellatis, trajecit, veniensque Constantinopolim, ac Palatium ingressus cum familiaribus, exceptusque est a Praetorianis et a Senatu. Cum vero accepisset Basiliscus Imperator occupatum esse a Zenone Palatium, et ab omnibus exceptum, atque adeo ab ipsa etiam socru sua Domina Verina, assumptis uxore et liberis, fugit in Magnae Ecclesiae magnum Baptisterium. Religiosissimus autem Zeno dato Circensium velo, statim conscendit Tribunal, ac Circenses dedit, receptusque est a civibus. Nec moratus, misit Imperator in Magnam Ecclesiam, et abstulit a Basilisco

βασιλεὺς εἰς τὴν μεγάλην ἐκκλησίαν ἐπῆρεν παρὰ Βασιλίσκου καὶ τῆς γυναικὸς αὐτοῦ καὶ τοῦ υἱοῦ αὐτῶν τὰ τῆς βασιλείας ἅπαντα, καὶ ἐξέβαλεν αὐτὸν καὶ τὰ τέκνα αὐτοῦ καὶ τὴν γυναῖκα, λαβόντας λόγον ὅτι οὐκ ἀποκεφαλίζονται. καὶ ἔπεμψεν αὐτὸν καὶ τοὺς μετ' αὐτοῦ εἰς Λίμνας τὸ κάστρον ὁ αὐτὸς Ζήνων βα-
V 260 σιλεὺς εἰς τὴν Καππαδοκίαν. καὶ ἐβλήθησαν εἰς ἕνα πύργον τοῦ κάστρου, καὶ ἀνοικοδομήθη ἡ θύρα καὶ ἐφυλάττετο ὁ πύργος καὶ τὸ κάστρον αὐτὸ ὑπὸ στρατιωτῶν καὶ Ἰσαύρων πλήθους πολ-
B λοῦ· καὶ λιμοκτονηθεὶς ὁ αὐτὸς Βασιλίσκος καὶ ἡ γυνὴ αὐτοῦ καὶ τὰ τέκνα αὐτῶν ἀπέδωκαν τὰς ψυχάς, καὶ ἐτάφησαν ἐκεῖ εἰς τὸν αὐτὸν πύργον Λιμνῶν.

R 754 Ἰνδ. β'. ε'. ὑπ. Ζήνωνος Αὐγούστου τὸ γ' μόνου.

τιε' Ὀλυμπιάς.

Ἰνδ. γ'. ϛ'. ὑπ. Βασιλείου μόνου.
Ἰνδ. δ'. ζ'. ὑπ. Πλακίτα μόνου.
Ἰνδ. ε'. η'. ὑπ. Τροκόνδου καὶ Σεβηριανοῦ.
Ἰνδ. ϛ'. θ'. ὑπ. Φαύστου μόνου.

τιϛ' Ὀλυμπιάς.

Ἰνδ. ζ'. ι'. ὑπ. Θεοδωρίχου καὶ Βεναντίου.

C Ταύτῳ τῷ ἔτει Ζήνων ὁ βασιλεὺς ἐποίησε Καίσαρα τὸν υἱὸν Ἀρμάτου τοῦ στρατηλάτου πραισέντου, Βασιλίσκον ὀνόματι, καὶ

2. αὐτοῦ P. 8. καὶ alterum om. P. 12. γ' καὶ μόνου R.

Anni a m. c. et uxore ejus et filio omnia Imperatoria insignia, fide interposita ac data ipsos non plexum iri capitibus. Amandavitque illum Zeno Imperator cum suis in Limnas, castrum Cappadociae, ubi conjecti sunt in turrim quandam castri, cujus ostium obstrui, ipsum vero castrum una cum turri a militum Isaurorum praesidio custodiri imperavit: sicque Basiliscus, uxor et liberi fame enecati interierunt, ibidemque in Limnarum turri sepulti sunt.

Anni a m. c.	A. C.				[Ol. Iph.]
5987.	479.	V.	Ind. II.	Zenone Augusto III. solo Cos.	3.
				CCCXV. Olympias.	
	480.	VI.	Ind. III.	Basilio solo Cos.	4.
	481.	VII.	Ind. IV.	Placito solo Cos.	1.
	482.	VIII.	Ind. V.	Trocondo et Severiano Coss.	2.
	483.	IX.	Ind. VI.	Fausto solo Cos.	3.
				CCCXVI. Olympias.	
	484.	X.	Ind. VII.	Theodoricho et Venantio Coss.	4.

Hoc anno, Zeno Imperator Caesarem creavit Armati Magistri Militum Praesentalis filium, Basiliscum nomine, isque Zenoni assedit dum Circenses ederentur, ac uterque, Imperator et Caesar aurigas spectarunt

συνεκάθισεν αὐτῷ εἰς τὸ θεωρεῖν· καὶ εἴδαν τοὺς ἡνιόχους ὁ βασιλεὺς καὶ ὁ Καῖσαρ.

Ὁ δὲ βασιλεὺς Ζήνων λογισάμενος ὅτι ἐπιώρκησεν Ἀρμᾶτος ὁ στρατηλάτης τοῦ πραισέντου, ὁ πατὴρ τοῦ Καίσαρος, ὀμόσας εἰς τὸ ἅγιον βάπτισμα Βασιλίσκῳ μὴ προδοῦναι αὐτόν, καὶ ὅτι προτραπεὶς παρ' ἐμοῦ προέδωκεν αὐτόν, καὶ ἀπέθανεν, πῶς τῇ ἐμῇ βασιλείᾳ πιστὰ φυλάξει; μικρὰν γὰρ ἐὰν ἀνδρειωθῇ ὁ υἱὸς αὐτοῦ ὁ Καῖσαρ, πάντως κἀμὲ παραβαίνει. ἐγὼ δὲ οὐ παρέβην αὐτόν, ἀλλὰ καὶ αὐτὸν ἐποίησα ἐπὶ τόπου μεῖναι στρατηλάτην, καὶ τὸν υἱὸν αὐτοῦ Καίσαρα ἐποίησα. καὶ ἐκέλευσεν ὁ βασιλεὺς Ζήνων σφαγῆναι Ἀρμᾶτον τὸν ἀπὸ ὑπάτων καὶ στρατηλάτην ὡς ἐπίορκον. καὶ ἐσφάγη εἰς τὸν Κόχλιον τοῦ παλατίου κατὰ τὸ Δέκιμον, ὡς ἀνέρχεται εἰς τὸ ἱππικὸν θεωρῆσαι ὁ αὐτὸς Ἀρμᾶτος. καὶ μετὰ τὸ φονευθῆναι Ἀρμᾶτον τότε καὶ τὸν υἱὸν αὐτοῦ Βασιλίσκον τὸν Καίσαρα νεώτερον ὄντα ἐχειροτόνησεν ἐπίσκοπον εἰς Κύζικον τὴν μητρόπολιν Ἑλλησπόντου, ἐπειδὴ ἦν φορέσας πορφύραν βασιλικήν, ὡς Καῖσαρ, δημεύσας πᾶσαν τὴν οὐσίαν τοῦ αὐτοῦ Ἀρματου. D

Ἐν τοῖς χρόνοις τούτοις πρόφασιν λαβόντες οἱ ἐκ τοῦ ἔθνους τῶν Σαμαρειτῶν ἐν Παλαιστίνῃ ἐτυράννησαν, καὶ ἔστεψαν λῄσταρχον, ὀνόματι Ἰουστασᾶν, Σαμαρείτην. καὶ εἰσῆλθεν ἐν Καισαρείᾳ, καὶ ἐθεώρησεν ἱππικόν, καὶ πολλοὺς ἐφόνευσεν ἡγε- P 327

1. εἰς — ὁ om. R. ib. εἴδαν] ἴδαν V, ἴδον P. 8. ὁ om. P. 13. δόκιμον R. 14. αὐτὸν Ἀρμᾶτον P. 15. ἐπίσκοπον ἐχειροτόνησεν P. 21. Ἰουστουσᾶν P. ib. Σαμαρίτην PV. 22. θεώρησεν P.

Armati Magistri Militum Praesentalis Patris Caesaris, perjurium secum colens Zeno Imperator, ut qui per sanctum Baptisma Basilisco jurasset, eum se non proditurum: *qui tamen*, ait, *a me impulsus illum prodidit, isque mortuus est, quo pacto Majestati meae fidem servabit? Ubi adoleverit filius illius Caesar, prorsus in me perinde perfidus erit. Ego vero fidem illi servavi, dum ut Militum Magister permaneret, effeci, ac filium Caesarem dixi.* Praecepit igitur Zeno Imperator, ut Armatus ExConsule et Magister Militum velut perjurus interimeretur. Interfectusque est in Palatii Cochlea, versus Decimum, cum ascenderet, Circenses spectaturus. Post caedem Armati, Basiliscum filium Caesarem, adolescentem adhuc, Cyzici Hellesponti Metropoleos Episcopum ordinari curavit, ut qui purpuram Regiam, tanquam Caesar, induisset, bonis Armati omnibus in fiscum relatis.

Hisce temporibus, arrepta nescio qua occasione, Samaritae in Palaestina tyrannidem excitavere, Justasa quodam latronum principe Samarita coronato. Is porro Caesaream ingressus, Circenses exhibuit, multosque interfecit, Palaestinae imperans. Sed et concremavit Eccle-

μονεύων τῆς Παλαιστίνης. ἔκαυσεν δὲ καὶ τὴν ἐκκλησίαν τοῦ ἁγίου Πρόβου ὁ αὐτὸς Ἰουστασᾶς ἐπὶ Τιμοθέου ἐπισκόπου
R 756 Καισαρείας. καὶ εὐθέως ὁ δοὺξ Παλαιστίνης Ἀσκληπιάδης ἦλθεν μετὰ τῆς ἑαυτοῦ βοηθείας, ὡς λῃστοδιώκτης, ὁ ἀξιωματικὸς Καισαρείας, μετὰ τῶν Ἀρκαδιανῶν, καὶ ὁρμήσας κατ' αὐτοῦ Ἰουστασᾶ συνέβαλεν αὐτῷ, καὶ ἀπεκεφαλίσθη ὁ αὐτὸς Ἰουστασᾶς, καὶ ἐπέμφθη ἡ κεφαλὴ αὐτοῦ μετὰ τοῦ διαδήματος αὐτοῦ
B τῷ βασιλεῖ Ζήνωνι. ὁ δὲ βασιλεὺς Ζήνων εὐθέως ἐποίησε τὴν συναγωγὴν αὐτῶν τὴν οὖσαν εἰς τὸ καλούμενον Γαργαρίδην εὐκτήριον οἶκον μέγαν τῆς δεσποίνης ἡμῶν τῆς θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀνανεώσας καὶ τὸν οἶκον τοῦ ἁγίου Προκοπίου, ποιήσας διάταξιν μὴ στρατεύεσθαι Σαμαρείτην, δημεύσας τοὺς εὐπόρους αὐτῶν. καὶ ἐγένετο φόβος καὶ εἰρήνη.

V 261 Ἰνδ. η'. ια'. ὑπ. Συμμάχου μόνου.

Τούτῳ τῷ ἔτει Θεοδερὶχ τῷ γενομένῳ ῥηγὶ Ῥώμης προσῆλθεν μία γυνὴ συγκλητικὴ Ῥώμης, ὀνόματι Ἰουβεναλία, διδάσκουσα αὐτὸν ὅτι Τρία ἔτη ἔχω δικαζομένη μετὰ τοῦ πατρικίου
C Φόρμου, καὶ εὐλύτωσόν με. καὶ ἐνεγκὼν τοὺς δικολόγους τῶν ἀμφοτέρων μερῶν εἶπεν αὐτοῖς ὅτι Εἰ μὴ διὰ τῆς αὔριον καὶ διὰ τῆς μετ' αὐτῆς δώσετε αὐτοῖς ὅρον καὶ ἀπαλλάξετε αὐτούς,

2. Ἰουστασὸς V, Ἰουστουσᾶς P. Conf. Malalas p. 382. 4. ὡς λῃστοδιώκτης] καὶ ὁ λῃστοδιώκτης Ῥήγης Malalas. 6. Οὐιστασᾶ PV, Ἰουστουσᾶ R. ib. Ἰουστουσᾶ R. 12. Σαμαρίτην PV. 15. Θεοδωρίχῳ P. 18. Φίρμου Malalas p. 384. ib. τῶν] αὐτῶν P. 19. καὶ διὰ τῆς μετ' αὐτῆς (vel potius αὐτήν) sumpsi ab Malala.

Anni a m. c. siam Sancti Probi, cum Timotheus Caesareae esset Episcopus. Confestim vero Asclepiades Palaestinae Dux cum suo praesidio venit, ut et Latrunculator, Caesareae magistratus, cum Arcadianis: contraque ipsum Justusam profectus, atque cum eo congressus, Justusam capite truncavit, ac illius caput, cum eo quo cinctum erat diademate, ad Zenonem Imperatorem transmisit. Idem porro Imperator Zeno illorum Synagogam, quae in loco Gargaride dicto erat, in aedem sacram, eamque ingentem, Dominae nostrae Deiparae et semper Virginis Mariae, statim convertit: instaurata praeterea Sancti Procopii aede. Edixit etiam ne Samaritae deinceps militarent, bonis potentiorum omnibus proscriptis: unde et terror est insecutus, paxque firmata.

A. C. [Ol. Iph.]
5993. 485. XI. Ind. VIII. Symmacho solo Cos. 1. 316.

Hoc anno, ad Theodorichum, qui Romae regnabat, accessit femina Senatorii generis Romana, Juvenalia nomine, Regemque hisce verbis est allocuta: *Tertium jam annum cum Formo Patricio controversiam habeo, fac ut expediar.* Rex accersitis utriusque partis judicibus: *Nisi*, inquit, *intra crastinum diem sententiam tuleritis, et litigantes dimiseritis, plectam vos capite.* Ii vero biduo invicem congressi, sententia

ἀποκεφαλίζω ὑμᾶς. καὶ καθίσαντες διὰ τῶν δύο ἡμερῶν εἶπαν τὰ δοκοῦντα τοῖς νόμοις, δεδωκότες αὐτοῖς ὅρον, καὶ ἀπήλλαξαν αὐτούς. καὶ ἅψασα κηροὺς ἡ Ἰουβεναλία προσῆλθεν αὐτῷ εὐχαριστοῦσα, ὅτι ἐυλυτώθη ἡ δίκη αὐτῶν. καὶ ἠγανάκτησεν ὁ αὐτὸς ῥὴξ κατὰ τῶν δικολόγων, καὶ ἀγαγὼν αὐτοὺς εἶπεν αὐτοῖς, Διὰ τί, ὃ ἐποιήσατε εἰς δύο ἡμέρας καὶ ἀπηλλάξατε αὐτούς, εἰς τρία ἔτη οὐκ ἐποιήσατε; καὶ ἀπεκεφάλισεν τοὺς D
δύο δικολόγους ἐξ ἀμφοτέρων τῶν μερῶν, καὶ ἐγένετο φόβος. καὶ ἐποίησε διάταξιν περὶ ἑκάστου νόμου. καὶ ἐξελθὼν ἀπὸ Ῥώμης οἴκησεν τὴν Ῥάβενναν, πόλιν παραθαλασσίαν, ἕως θανάτου αὐτοῦ. καὶ μετὰ θάνατον αὐτοῦ ἐγένετο ῥὴξ Ῥώμης ὁ ἐκ γένους αὐτοῦ Ἀταλλάριχος. ἦν δὲ Ἀρειανὸς τῷ δόγματι, ὅ ἐστιν ἐξωκιονίτης.

Ἰνδ. θ'. ιβ'. ὑπ. Λογγίνου καὶ Δεκίου.

Ἰνδ. ι'. ιγ'. ὑπ. Βοηθίου μόνου.

Τούτῳ τῷ ἔτει ἔπαθεν ἀπὸ θεομηνίας σεισμοῦ Κωνσταντι- R 758
νούπολις τὸ δεύτερον αὐτῆς πάθος μηνὶ γορπιαίῳ σεπτεμβρίῳ κς' P 328
ἐπ' ὀλίγον διάστημα ἕως τοῦ Ταύρου.

τιζ' Ὀλυμπιάς.

Ἰνδ. ια'. ιδ'. ὑπ. Δυναμίου καὶ Σιφιδίου.

2. ἀπηλλάξαντες P. 3. Οὐβεναλία V. 4. εὐλυτρώθη P. 9. ἀπὸ Ῥώμης om. P 10. Ῥάβαινναν P, Ῥάβαιναν V. ib. παραθαλάσσιον P. 15. Βοηθείτου RV, Βοηθείου P.

A. C. [Ol. Iph.]

ex legibus data, utrumque dimiserunt. Tum Juvenalia accensis cereis Regem convenit, ut gratias ageret quod a lite esset absoluta. At Rex indignatus, accersitis judicibus: *Quare*, inquit, *quod uno biduo confecistis, protraxistis in triennium?* Et extemplo utriusque partis judices securi percussit, ex quo ingens in alios ortus est terror. Rex postmodum Decreto de singulis legibus edito, urbe digressus, Ravennam maritimam civitatem concessit, ubi usque ad vitae exitum habitavit. Post Theodorichi mortem, ex illius stirpe Romae regnavit Atallarichus. Fuit autem ille ex haeresi Ariana, id est Exocionita.

486. XII. Ind. IX. Longino et Decio Coss. 2.

487. XIII. Ind. X. Boëthio solo Cos. 3.

Hoc ipso anno, Constantinopolis alteram a terrae motu cladem ex divina ira passa est mense Gorpiaeo, XXVI. Septembris, in brevi spatio, usque ad Taurum.

CCCXVII. Olympias.

488. XIV. Ind. XI. Dynamio et Sifidio Coss. 4.

Ἰνδ. ιβ΄. ιε΄. ὑπ. Εὐσεβίου καὶ Προβίνου.

Ἰνδ. ιγ΄. ιϛ΄. ὑπ. Λογγίνου τὸ β΄ καὶ Φαύστου τὸ β΄.

Λέγει ὅτι Ζήνων ὁ βασιλεὺς ἐρωτήσας Μαυριανὸν τὸν σοφώτατον κόμητα, ὅστις καὶ πολλὰ αὐτῷ προέλεγεν, ἦν γὰρ μυ- B στικά τινα εἰδὼς ὁ αὐτὸς Μαυριανός, τίς μετ᾽ αὐτὸν Ζήνωνα βασιλεύει, καὶ ἔμαθεν παρ᾽ αὐτοῦ ὅτι τὴν βασιλείαν αὐτοῦ καὶ τὴν γυναῖκα αὐτοῦ διαδέχεταί τις ἀπὸ σιλεντιαρίων. καὶ ταῦτα ἀκούσας ὁ βασιλεὺς Ζήνων συνέσχεν τὸν πατρίκιον Πελάγιον τὸν ἀπὸ σιλεντιαρίων πληρώσαντα καὶ ἐλθόντα εἰς τὴν τοῦ πατρικίου ἀξίαν, ἄνδρα σοφόν. καὶ δημεύσας αὐτὸν ἐκέλευσεν φυλάττεσθαι· ὅντινα οἱ φυλάσσοντες ἐξκουβίτωρες ἔπνιξαν ἀγχόνῃ κατὰ κέλευσιν τοῦ βασιλέως Ζήνωνος. καὶ ἀκούσας ὁ ἔπαρχος τῶν πραιτωρίων Ἀρκάδιος ἐλοιδόρησε τὸν βασιλέα Ζήνωνα διὰ τὸν πατρίκιον Πελάγιον, ὅτι ἐφονεύθη. καὶ εἰσῆλθεν εἰς τὰς ἀκοὰς C Ζήνωνος τοῦ βασιλέως, καὶ ἐκέλευσεν εἰσερχόμενον αὐτὸν Ἀρκάδιον εἰς τὸ παλάτιον σφαγῆναι. ὁ δὲ ἔπαρχος τῶν πραιτωρίων Ἀρκάδιος μαθὼν τοῦτο, καὶ ὅτι μετεστάλη ἀπὸ τοῦ βασιλέως, ὡς παρήρχετο διὰ τῆς μεγάλης ἐκκλησίας, ἐποίησεν ἑαυτὸν βουλόμενον εὔξασθαι, καὶ κατελθὼν ἐκ τοῦ ὀχήματος εἰσῆλθεν εἰς τὴν μεγάλην ἐκκλησίαν Κωνσταντινουπόλεως, καὶ ἔμεινεν ἐκεῖ ἔσω, καὶ ἐῤῥύσθη πικροῦ θανάτου.

7. αὐτοῦ om. P. 12. ὁ om. P. 17. ὅτε μετεσλάτει V. 18. Post ἑαυτὸν V addit τὸν pene evanidum. 21. ἐῤύσθη PV.

A. C.			[Ol. Iph.]
489.	xv.	Ind. xii. Eusebio et Probino Coss.	1. 317.
490.	xvi.	Ind. xiii. Longino II. et Fausto II. Coss.	2.

Cum rogasset Imperator Zeno Maurianum Comitem, virum doctissimum; qui multa illi hactenus praedixerat, (is enim arcana quaedam noverat) quis post se imperaret; ex eo didicit fore ut illius imperium et uxorem exciperet quidam Ex-Silentiario. Quibus intellectis, Pelagium Patricium comprehendit, qui Silentiarium egerat, et inde ad Patricii pervenerat dignitatem, virum sapientem, bonisque illius publicatis, jussit custodiri: quem deinde Excubitores, ipsius Zenonis Imperatoris jussu, laqueo suffocarunt. Quod Arcadius Praefectus Praetorio accipiens, Zenonem Imperatorem conviciis est insectatus, quod Pelagium Patricium interfecisset. Zeno perlata ad se Pelagii criminatione, jussit, simul ac Palatium ingrederetur; occidi. Praefectus vero Praetorio Arcadius cum id rescisset, seque ab imperatore accersiri videret, versus Magnam Ecclesiam transiens, simulavit se velle precari, et exscenso curru, ingressus est Magnam Ecclesiam Constantinopoleos, ibique intus moratus, ab acerba morte liberatus est.

491.	xvii.	Ind. xiv. Olybrio solo Cos.	3.

Ἰνδ. ιδʹ. ιζʹ. ὑπ. Ὀλυβρίου μόνου. V 262

τιηʹ Ὀλυμπιάς.

Τούτῳ τῷ ἔτει μηνὶ ξανθικῷ τῷ καὶ ἀπριλίῳ δυσεντερίᾳ D ληφθεὶς Ζήνων τελευτᾷ, ὢν ἐτῶν ξεʹ καὶ ἡμερῶν ἐννέα.

Ῥωμαίων μεʹ ἐβασίλευσεν Ἀναστάσιος ὁ Δίκορος, ὁ ἐκ τῆς νέας Ἠπείρου ἐπαρχίας, ἀπὸ σιλεντιαρίων, ἐπὶ τῆς ὑπατείας Ὀλυβρίου υἱοῦ Ἀρεοβίνδου, στεφθεὶς μηνὶ ξανθικῷ τῷ καὶ ἀπριλίῳ τῇ εʹ τῆς μεγάλης ἑβδομάδος, ἰνδικτιῶνος ιδʹ, ἔτους χρη- R 760 ματίζοντος κατὰ Ἀντιόχειαν τὴν μεγάλην ζλʹ καὶ φʹ. καὶ ἔγημε τὴν δέσποιναν τὴν Ἀριάδνην, τὴν Ζήνωνος τοῦ πρὸ αὐτοῦ βασιλέως γενομένην γαμετήν. ἐβασίλευσεν δὲ ὁ αὐτὸς Ἀναστάσιος ἔτη κζʹ. ὁμοῦ ͵ςκζʹ.

Ἰνδ. ιεʹ. αʹ. ὑπ. Ἀναστασίου Αὐγούστου καὶ Ῥούφου. P 329

Ἰνδ. αʹ. βʹ. ὑπ. Εὐσεβίου τὸ βʹ καὶ Ἀλβίνου.

Ἰνδ. βʹ. γʹ. ὑπ. Ἀστερίου καὶ Πραισιδίου.

Ἰνδ. γʹ. δʹ. ὑπ. Βεάτωρος μόνου.

τιθʹ Ὀλυμπιάς.

Ἰνδ. δʹ. εʹ. ὑπ. Παύλου μόνου.

Ἰνδ. εʹ. ςʹ. ὑπ. Ἀναστασίου Αὐγούστου τὸ βʹ μόνου.

Ἰνδ. ςʹ. ζʹ. ὑπ. Ἰωάννου Σκυθοπολίτου καὶ Παυλίνου.

7. Ἀριοβίνδου R. 9. ζλʹ] θλʹ cum Malala p. 391. 8. Clintonus Fast. vol. II. p. 367. 11. γαμετὴν om. P. ib. δὲ om. P. 16. Βενάτωρος P.

A. C. [Ol. Iph.] Anni a m. c.

CCCXVIII. Olympias.

Hoc anno, mense Xanthico, sive Aprili, Zeno sanguinis fluxu correptus diem suum obiit, annos natus LXV. dies IX.

Imperavit XLV. Anastasius Dicorus, ex Novae Epiri Provincia oriundus, Ex-Silentiario, Olybrio Areobindi filio Consule; coronatus est mense Xanthico, seu Aprili, feria V. majoris Hebdomadae, Indictione XIV. anno secundum Antiochiae magnae aeram DXXXVII. duxitque Dominam Ariadnen Augustam, Zenonis decessoris uxorem. Imperavit Anastasius annos XXVII. Colliguntur anni VI. MXXVII.

492.	I.	Ind. XV.	Anastasio Augusto et Rufo Coss.	4.	6000.
493.	II.	Ind. I.	Eusebio II. et Albino Coss.	1. 318.	
494.	III.	Ind. II.	Asterio et Praesidio Coss.	2.	
495.	IV.	Ind. III.	Venatore solo Cos.	3.	

CCCXIX. Olympias.

496.	V.	Ind. IV.	Paulo solo Cos.	4.	
497.	VI.	Ind. V.	Anastasio Augusto II. solo Cos.	1. 319.	
498.	VII.	Ind. VI.	Joanne Scythopolita et Paulino Coss.	2.	

B Ἐπὶ τούτων τῶν ὑπάτων ἱππικοῦ ἀγομένου παρεκάλουν οἱ τοῦ μέρους τῶν Πρασίνων τὸν βασιλέα Ἀναστάσιον ἀπολυθῆναί τινας συσχεθέντας ἀπὸ τοῦ ἐπάρχου τῆς πόλεως λιθοβόλους. καὶ οὐ παρεκλήθη ἀπὸ τοῦ δήμου ὁ αὐτὸς Ἀναστάσιος, ἀλλὰ ἀγανακτήσας ἐκέλευσεν ἅρμα κατ' αὐτῶν ἐξελθεῖν, καὶ ἐγένετο ἀταξία μεγάλη, καὶ κατῆλθαν οἱ δῆμοι κατὰ τῶν ἐξκουβιτώρων. καὶ ἐλθόντες ἐπὶ τὸ κάθισμα ἔῤῥιψαν λίθους κατὰ τοῦ βασιλέως Ἀναστασίου, ἐν οἷς εἷς Μαῦρος ἔῤῥιψεν ἐπάνω τοῦ βασιλέως Ἀνα- C στασίου. καὶ ἐξέφυγεν ὁ βασιλεὺς τὸν λίθον, ἐπεὶ ἐφονεύετο. καὶ θεασάμενοι οἱ ἐξκουβίτωρες τὴν τοῦ αὐτοῦ Μαύρου τόλμαν, ὥρμησαν κατ' αὐτοῦ, καὶ ἔκοψαν αὐτὸν κατὰ μέλος, καὶ οὕτω τὴν ψυχὴν ἀπέδωκεν. ὁ δὲ δῆμος στενωθεὶς ἔβαλεν πῦρ ἐν τῇ λεγομένῃ Χαλκῇ τοῦ Ἱππικοῦ· καὶ ὁ περίβολος ὅλος ἐκαύθη ἕως τοῦ βασιλικοῦ καθίσματος. καὶ ὁ δημόσιος ἔμβολος ἕως τοῦ Ἑξαΐππίου καὶ ἕως τοῦ φόρου Κωνσταντίνου ὅλως καυθεὶς κατηνέχθη διακοπῶν πανταχοῦ γενομένων, καὶ πολλῶν συσχεθέντων καὶ τιμωρηθέντων γέγονεν ἡσυχία, προαχθέντος ἐπάρχου πόλεως Πλάτωνος.

R 762 Λέγει ὅτι ὁ βασιλεὺς Ἀναστάσιος μετὰ τὸ περιγενέσθαι αὐ-
D τὸν τοῦ Περσικοῦ πολέμου ἐτείχισεν τὸ Δόρας, χωρίον ὄντα

3. λιθοβόλους in margine V ab alia manu scriptum videtur. Conf. Malalas p. 394. 5. ἐλθεῖν P. 6. κατῆλθον P. 10. ἐκσκουβίτωρες V. 19. Omisso λέγει P Πλάτωνος λᾶας ..... 20. Δωρεχωρίον V, ὃν τὸ Δωρεχῷ m. R, quorum prius ad ὄντα pertinet, Δῶρας χωρίον PR, ut infra.

His Coss. dum agerentur Circenses ludi, rogarunt Imperatorem Anastasium qui erant ex Factione Prasinorum, uti vinculis solverentur qui ob jactos lapides, in carcerem missi fuerant a Praefecto urbi. Verum id non modo impetrarunt ab Anastasio, sed et irritatus ille viros armatos accersiri jussit, unde ingens tumultus coortus est, Factionibus adversus Excubitores insurgentibus. Cumque ad Circi Tribunal pervenissent, conjecere saxa in ipsum Imperatorem Anastasium: in quibus Maurus quidam in Imperatorem lapidem emisit: quem Imperator declinavit, fuga elapsus, ne interficeretur. Excubitores, spectata Mauri audacia, impetu in illum facto, membratim eum conciderunt, atque ita ille animam efflavit. Populus vero in arctum redactus, ignem in Chalcen Hippodromi sic appellatam immisit, ex quo Circi ambitus universus usque ad Imperatorium Tribunal conflagravit. Sed et publica Porticus usque ad Hexahippium, et usque ad Forum Constantini omnino exusta procubuit. Verum caedibus ubique factis, multisque comprehensis et punitis, tumultus conquievit, creato Praefecto urbi Platone.

Imperator Anastasius, post relatas de Persis victorias, Doras muris cinxit, oppidum in Mesopotamia amplum omnino et munitum, in confinio Romanorum et Persarum situm: in eoque condidit Balnea publica duo,

τῆς Μεσοποταμίας μέγα πάνυ καὶ ὀχυρόν, κείμενον μέσον τῶν ὅρων Ῥωμαίων καὶ Περσῶν. καὶ ἐποίησεν ἐν αὐτῷ δημόσια λοῦτρα β' καὶ ἐκκλησίας καὶ ἐμβόλους καὶ ὅρια εἰς ἀπόθετα σίτου καὶ κιστέρνας ὑδάτων. τὸ δὲ αὐτὸ χωρίον διὰ τοῦτο λέγεται κληθῆναι Δόρας ὑπὸ Ἀλεξάνδρου Μακεδόνος, διότι Δαρεῖον τὸν βασιλέα Περσῶν ὁ αὐτὸς Ἀλέξανδρος ἐκεῖ δόρατι ἔκρουσεν, ὅθεν V 263
καὶ τὸ ὄνομα ἔχει μέχρι νῦν.

Ἰνδ. ζ'. η'. ὑπ. Ἰωάννου Κυρτοῦ μόνου.

τκ' Ὀλυμπιάς. P 330

Ἰνδ. η'. θ'. ὑπ. Πατρικίου καὶ Ὑπατίου.
Ἰνδ. θ'. ι'. ὑπ. Πομπηίου καὶ Ἀβιήνου.
Ἰνδ. ι'. ια'. ὑπ. Πρόβου καὶ Ἀβιήνου τὸ β'.
Ἰνδ. ια'. ιβ'. ὑπ. Δεξικράτους καὶ Βολουσιανοῦ.

τκα' Ὀλυμπιάς.

Ἰνδ. ιβ'. ιγ'. ὑπ. Κεθήγου μόνου.
Ἰνδ. ιγ'. ιδ'. ὑπ. Σαβινιανοῦ καὶ Θεοδώρου.
Ἰνδ. ιδ'. ιε'. ὑπ. Ἀρεοβίνδου καὶ Μεσσαλᾶ. B
Ἰνδ. ιε'. ις'. ὑπ. Ἀναστασίου Αὐγούστου τὸ γ' καὶ Βεναντίου.

4. καὶ τὸ δὲ P. 13. Δεξικράτου R. 17. Ἀρενοβίνδου V.

Ecclesias, Porticus, Horrea ad condendum frumentum, et Cisternas aquarum. Ideo porro oppidum istud Doras ab Alexandro Macedone appellatum fertur, quod eo in loco Darium Persarum Regem *dorati*, seu hasta percusserit: unde hodieque id nominis obtinet.

A. C.				[Ol. Iph.]
499.	VIII.	Ind. VII.	Joanne Gibbo solo Cos.	8.
			CCCXX. Olympias.	
500.	IX.	Ind. VIII.	Patricio et Hypatio Coss.	4.
501.	X.	Ind. IX.	Pompeio et Avieno Coss.	1. 320.
502.	XI.	Ind. X.	Probo et Avieno iterum Coss.	2.
503.	XII.	Ind. XI.	Dexicrate et Volusiano Coss.	3.
			CCCXXI. Olympias.	
504.	XIII.	Ind. XII.	Cethego solo Cos.	4.
505.	XIV.	Ind. XIII.	Sabiniano et Theodoro Coss.	1. 321.
506.	XV.	Ind. XIV.	Areobindo et Messala Coss.	2.
507.	XVI.	Ind. XV.	Anastasio Augusto III. et Venantio Coss.	3.
508.	XVII.	Ind. I.	Celere et Venantio Coss.	4.
509.	XVIII.	Ind. II.	Opportuno solo Cos.	1. 322.
510.	XIX.	Ind. III.	Boethio solo Cos.	2.
511.	XX.	Ind. IV.	Secundino et Felice Coss.	3.
512.	XXI.	Ind. V.	Paulo et Musciano Coss.	4.

Ἰουλιάνας τῆς ἐπιφανεστάτης πατρικίας ἔκραζον διὰ τὸν αὐτῆς ἄνδρα Ἀρεόβινδον βασιλέα τῇ Ῥωμανίᾳ. καὶ ἔφυγεν ὁ
C Ἀρεόβινδος πέραν. καὶ λοιπὸν ὁ βασιλεὺς Ἀναστάσιος ἀνῆλθεν εἰς τὸ κάθισμα τοῦ Ἱππικοῦ δίχα διαδήματος. καὶ τοῦτο γνοὺς ὁ πᾶς δῆμος ἀνῆλθεν εἰς τὸ Ἱππικόν, καὶ διὰ προσφωνήσεως αὐτοῦ μετεχειρίσατο τὸ πλῆθος τῆς πόλεως.

Τούτῳ τῷ ἔτει ἐκτίσθη τὸ μακρὸν τεῖχος τὸ λεγόμενον Ἀναστασιακόν.

Ἰνδ. α'. ιζ'. ὑπ. Μάγνου μόνου.

D Ἐπὶ τούτου τοῦ ὑπάτου εἶδεν ὁ βασιλεὺς Ἀναστάσιος ἐν
R 764 ὁράματι ὅτι ἐναντίον αὐτοῦ ἀνήρ τις τέλειος, εὐσχήμων, βαστάζων κώδικα γεγραμμένον, καὶ ἀναπτύξας φύλλα τοῦ κωδικίου πέντε, ἀναγνοὺς τὸ τοῦ βασιλέως ὄνομα εἶπεν αὐτῷ, Ἴδε, διὰ τὴν ἀπληστίαν σου ἀπαλείφω ιδ'. καὶ τῷ ἰδίῳ δακτύλῳ ἀπήλειψεν. καὶ διυπνισθεὶς καὶ καταῤῥαγεὶς ὁ αὐτὸς βασιλεὺς Ἀναστάσιος, προσκαλεσάμενος Ἀμάντιν τὸν κουβικουλάριον καὶ πραιπόσιτον εἶπεν αὐτῷ τὴν τοῦ ὁράματος δύναμιν. ὅστις Ἀμάντις εἶπεν αὐτῷ, Εἰς τὸν αἰῶνα ζῆθι, βασιλεῦ· κἀγὼ γὰρ ἐθεα-

5. αὐτοῦ καὶ μ. R. 9. Ante hunc versum addit R Ἰνδ. α', β', γ', δ', ε', ς', ζ, η', θ', ι'. ib. α'] ια' P. ib. ιζ'] κζ' P. 11. ὅτι] ἔστη R. ib. λευσχήμων PV. Correxi ex Malala p. 408. 13. 12. κωδικίου V, m. R, κώδικος P. 13. εἶδε PV. 14. ἀπολείφω P. 15. ἀπέλειψεν P. ib. καταῤῥαγεὶς] Conf. Cedreni p. 362. D κατέῤῥαξέ με εἰς τὴν γῆν.

A. C. [Ol. Iph.]

Julianae Nobilissimae Patriciae acclamarunt (Factiones in Circo) ob illius conjugem: *Areobindum Imperatorem Romaniae*, (volumus.) Fugitque Areobindus trans Fretum. Ac demum Anastasius Imperator in Circi Tribunal ascendit absque diademate. Quo cognito, populus omnis in Circum pariter ascendit: atque is habita oratione universam multitudinem sibi conciliavit.

Hoc anno, Longus murus, Anastasiacus appellatus, conditus est.

513.	XXII.	Ind. VI.	Clementino et Probo Coss.	1. 323.
514.	XXIII.	Ind. VII.	Senatore solo Cos.	2.
515.	XXIV.	Ind. VIII.	Anthemio et Florentio Coss.	3.
516.	XXV.	Ind. IX.	Petro solo Cos.	4.
517.	XXVI.	Ind. X.	Anastasio et Agapeto Coss.	1. 324.
518.	XXVII.	Ind. XI.	Magno solo Cos.	2.

Hoc Consule, vidit Anastasius Imperator per visum, virum quendam plena aetate, candida indutum veste, e regione stantem, ac codicem scriptum ferentem, qui evolutis quinque ejusdem codicis pagellis, Imperatoris lecto nomine, dixit: *Vide, ecce propter tuam inexplebilem avaritiam deleo XIV. annos.* Et suomet digito delevit. Imperator Anastasius experrefactus, ac viso perculsus, Amantium Cubicularium et Praepositum accersivit, somniumque suum illi exposuit. Tum Amantius: *Aeter-*

σάμην ταύτῃ τῇ νυκτὶ ὅτι ὡς ἵσταμαι ἐναντίον τοῦ ὑμετέρου κρά- P 331 τους, ὄπισθέν μου ἐλθὼν χοῖρος μέγας δραξάμενος τῷ στόματι τὴν ἀρχὴν τῆς χλαμύδος μου καὶ τινάξας κατήγαγέ με εἰς τὸ ἔδαφος, καὶ ἀνήλισκέ με κατεσθίων καὶ πατῶν. καὶ προσκαλεσάμενος βασιλεὺς Πρόκλον τὸν Ἀσιανὸν τὸν φιλόσοφον καὶ ὀνειροκρίτην εἶπεν αὐτῷ τὸ ὅραμα, ὁμοίως δὲ καὶ Ἀμάντιος. ὁ δὲ ἐσαφήνισεν αὐτοῖς τὴν αὐτῶν δύναμιν καὶ ὅτι μετ' ὀλίγον χρόνον τελειοῦνται. καὶ μετ' ὀλίγον ἀῤῥωστήσας ὁ βασιλεὺς Ἀναστάσιος ἔκειτο· καὶ ἀστραπῆς γενομένης καὶ βροντῆς μεγάλης πάνυ V 264 θροηθεὶς ἀπέδωκεν τὸ πνεῦμα, ὢν ἐνιαυτῶν ϟ' καὶ μηνῶν πέντε. B

Μετὰ τὴν βασιλείαν Ἀναστασίου τοῦ Δικόρου ἐβασίλευσεν ὁ θειότατος Ἰουστῖνος ὁ Βενδαρίτης, ὁ Θρᾴξ, ἐπὶ τῆς ὑπατείας Μάγνου, μηνὶ πανέμῳ τῷ καὶ Ἰουλίῳ θ', ἰνδ. ιά, χρηματίζοντος κατὰ τοὺς Ἀντιοχεῖς τῆς Συρίας ἔτους, ςξφ', ὅντινα ὁ στρατὸς τῶν φυλαττόντων τὸ παλάτιον ἐξκουβιτώρων ἅμα τῷ δήμῳ στέψαντες ἐποίησαν βασιλέα· ἦν γὰρ κόμης ἐξκουβιτώρων. καὶ ἐβασίλευσεν ἔτη θ'. ὁμοῦ ,ςλς'.

Ἰνδ. β'. ιη'. ὑπ. Ἰουστίνου Αὐγούστου καὶ Εὐθερίχου.

Οὗτος Ἰουστῖνος ἅμα ἐβασίλευσεν, ἀνεῖλεν Ἀμάντιον τὸν C πραιπόσιτον αὐτοῦ καὶ Ἀνδρέαν τὸν κουβικουλάριον τὸν Λαυ-

2. χοῖρος ἐλθὼν P. 6. δὲ om. R. 10. τὸ om. P. 12. Βενδαρίτης] Scribendum videtur Βεδεριανίτης. Βεδερίτης Alemannus ad Procop. Hist. arc. c. 6. ib. τῆς om. P. 14. Ἀντιοχείας PV. 18. β'. ιη'.] ιβ'. α'. P. 20. τὸν Λαυσιακὸν καὶ Θεόκριτον κόμητα om. P.

num, inquit, *vivas, Imperator: ego quoque hac eadem nocte haec vidi: dum coram vestra Majestate consisterem, pone me porcus ingens venit, qui chlamydis meae ora rostro apprehensa, haeque subinde vellicata, in terram me dejecit, ac proculcatum et devoratum absumpsit.* Advocato deinde ab Imperatore Proclo Asiano Philosopho, et Somniorum conjectore, quod per nocturnam speciem viderat is illi exposuit: similiter et Amantius. Ille vero somniorum vim iis declaravit, et quod uterque brevi esset moriturus. Imperator paulo post decubuit: cumque coruscatio, ingensque omnino fieret tonitru, externatus, animam efflavit, annos tum natus xc. et mensibus v.

Post imperium Anastasii Dicori, imperavit piissimus Justinus Bederita, Thrax, Magno tum Consule, mense Panemo, Julii ix. Indict. xi. anno juxta Antiochenorum Syriae aeram DLXVI. quem Excubitorum, qui ad Palatium excubias agebant, militia, una cum plebe, coronatum Imperatorem proclamavit: erat enim Comes Excubitorum, imperavitque annos ix. Colliguntur anni VI. MXXXVI.

A. C. [Ol. Iph.]

519. I. Ind. XII. Justino Augusto et Euthericho Coss. 8.

Hic Justinus simul ac imperium accepit, Amantium Praepositum suum, et Andream Cubicularium, ejusdem Amantii Domesticum, de medio

σιακὸν καὶ Θεόκριτον κόμητα τὸν τοῦ ῥηθέντος Ἀμαντίου δομέστικον, ὃν ἐβούλετο ποιῆσαι βασιλέα ὁ αὐτὸς Ἀμάντιος, δεδωκὼς αὐτῷ Ἰουστίνῳ χρήματα ῥογεῦσαι, ἵνα γένηται Θεόκριτος βασιλεύς, καὶ ἐρόγευσεν. ὁ δὲ στρατὸς καὶ ὁ δῆμος λαβόντες οὐχ εἵλαντο Θεόκριτον ποιῆσαι βασιλέα, ἀλλ' ἐποίησαν τὸν αὐτὸν Ἰουστῖνον βασιλέα. μετὰ οὖν τὸ βασιλεῦσαι αὐτὸν ὡς τυράννους καὶ βουληθέντας ἐπιβουλεῦσαι τῇ βασιλείᾳ αὐτοῦ ἐφόνευσεν αὐτούς. ἐσφάγησαν δὲ εἰς τὸ παλάτιον ἔσω.

R 766 D Ὁ δὲ αὐτὸς βασιλεὺς ἀνεκαλέσατο τὸν πατρίκιον Ἀπίωνα καὶ Διογενιανὸν ἀπὸ στρατηλατῶν καὶ Φιλόξενον καὶ αὐτὸν ἀπὸ στρατηλατῶν, πεμφθέντας εἰς ἐξορίαν παρὰ τοῦ πρὸ αὐτοῦ βασιλέως. καὶ ἐποίησεν Ἀπίωνα μὲν ἔπαρχον πραιτωρίων, Διογενιανὸν δὲ ἀπὸ στρατηλατῶν ἀνατολῆς, καὶ Φιλόξενον μετὰ χρόνον ἐποίησεν ὕπατον.

Τῷ αὐτῷ ἔτει ἀνῆλθεν εἰς πέραν ἐν τῇ ἀνατολῇ ἀστὴρ φοβερός, ὀνόματι κομήτης, ὃς εἶχεν ἀκτῖνα πέμπουσαν ἐπὶ τὸ κάτω, P 332 ὅντινα ἔλεγόν τινες πωγωνίαν εἶναι· καὶ ἐφοβοῦντο οἱ ἄνθρωποι.

τκε' Ὀλυμπιάς.

Ἰνδ. ιγ'. β'. ὑπ. Βιταλιανοῦ καὶ Ῥουστικίου.

2. ἠβούλετο P. 5. οὐκ V. ib. εἵλοντο P. 6. τὸ om. P. 15. εἰς πέραν] εἰπέραν V. Conf. ad p. 335. C. 16. τὸ] τῷ R. 18. „τκβ', τκγ', τκδ'. *Tertia et quarta omissae sunt cum duobus annis secundae.*" m. R. 20. Βεταλιανοῦ P.

sustulit, quod idem Amantius Imperatorem Theocritum facere in animo habuisset, datis ipsi Justino pecuniis, quas erogaret ut Theocritus ille Imperator fieret. Atque revera is pecunias dedit: verum iis acceptis, Praetoriani, plebsque, posthabito Theocrito, ipsum Justinum creavere Imperatorem. Postquam igitur Imperator factus est, illos tanquam tyrannos, quique imperio suo insidias struerent, interfecit. Caesi autem sunt intra Palatium.

Idem vero Imperator Apionem Patricium revocavit, et Diogenianum Ex-Magistro militum, et Philoxenum perinde Ex-Magistro militum, a decessore Imperatore in exilium missos. Ac Apionem quidem Praefectum Praetorio: Diogenianum vero Ex-Magistro militum per Orientem, Philoxenum denique post aliquod tempus Consulem dixit.

Eodem anno, exortum est in ulterioribus Orientis partibus astrum horrendum, quod Cometam vulgo vocant, radium inferius demittens. Id Pogoniam esse quidam asserebant: unde ingens homines invasit pavor.

CCCXXV. Olympias.

A. C. [Ol. Iph.]
520. II. Ind. XIII. Vitaliano et Rustico Coss. 4.

Ἰνδ. ιδ'. γ'. ὑπ. Ἰουστινιανοῦ καὶ Οὐαλερίου.

Ἰνδ. ιε'. δ'. ὑπ. Συμμάχου καὶ Βοηθίου.

Ἐν τούτῳ τῷ χρόνῳ Τζάθιος ὁ υἱὸς Ζαμνάξου τοῦ Λαζῶν βασιλέως, ἢ μόνον ἐτελεύτα ὁ πατὴρ αὐτοῦ Ζαμνάξης, εὐθέως ἀνῆλθεν ἐν Κωνσταντινουπόλει πρὸς τὸν θειότατον βασιλέα Ἰουστῖνον. καὶ ἑαυτὸν ἐκδεδωκὼς παρεκάλεσεν ἀναγορευθῆναι αὐτὸν B *βασιλέα Λαζῶν ὑπὸ τοῦ Ῥωμαίων βασιλέως, γινόμενον χριστιανόν, καὶ μὴ πρὸς συνήθειαν ὑπὸ τοῦ Περσῶν βασιλέως προχειριζόμενον ἀναγκασθῆναι αὐτόν, ὡς οἷα ὑποκείμενον καὶ παρ' αὐτοῦ προχειριζόμενον βασιλέα, καὶ τὰς θυσίας ποιῆσαι καὶ πάντα τὰ Περσικὰ σεβάσματα. ἦν δὲ κατ' αὐτὸν τὸν καιρὸν βασιλεὺς Περσῶν Κωάδης, καὶ παρὰ Πέρσαις ἐκράτει ὥστε βασιλέως Λαζῶν τελευτῶντος ἄλλον βασιλέα στέφεσθαι τούτοις ὑπὸ τοῦ κατὰ καιρὸν βασιλέως Περσῶν, τοῦ ἔθνους μέντοι τῶν Λαζῶν ὑπάρχοντα. καὶ δεχθεὶς ὁ* V 265 *Τζάθιος παρὰ τοῦ αὐτοῦ βασιλέως Ἰουστίνου ἐφωτίσθη· καὶ χρι-* C *στιανὸς γενόμενος ἔγημε γυναῖκα Ῥωμαίαν, ἔκγονον Ὀνίνου τοῦ πατρικίου τοῦ ἀπὸ κουροπαλατῶν, Οὐαλεριανήν. ἥντινα εἰς τὴν ἰδίαν αὐτοῦ χώραν λαβὼν ἀπήγαγεν, προχειρισθεὶς καὶ στεφθεὶς βασιλεὺς Λαζῶν ὑπὸ τοῦ αὐτοῦ Ἰουστίνου βασιλέως, φορέσας στέφανον Ῥωμαίων καὶ χλαμύδιν ἄσπρον ὁλοσηρικόν, ἔχον ἀντὶ*

hic naturae intelliguntur, altera animae, et altera corporis: et tamen
non propter hoc in duos homines dividitur, sed unum scimus hominem duo. sic
esse, et unam subsistentiam ejus. Et in mysterio igitur Christi facta *alibi.*
unitione, licet diversa intelligantur quae unita sunt, sed non ipsa re et

ἑνωθέντα, ἀλλ' οὖν οὐ πραγματικῶς καὶ ἀνὰ μέρος ἀλλήλων διΐ-
στανται τὰ ἐξ ὧν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς συνετέθη.
τὴν μέντοι διαφορὰν κατανοοῦντες, καὶ ταύτην σημᾶναι βουλό-
μενοι, τὸν ἀριθμὸν παραλαμβάνομεν, καὶ δύο τὰς ἐν Χριστῷ
φύσεις εἶναί φαμεν, καὶ οὐ διὰ τοῦτο ὁ εἷς Χριστὸς εἰς δύο Χρι-
στοὺς ἢ δύο υἱοὺς διαιρεῖται. καὶ μαρτυρεῖ τοῖς παρ' ἡμῶν εἰ-
D ρημένοις ὁ ἐν ἁγίοις Γρηγόριος ὁ θεολόγος ἐν τῷ πρὸς Κληδόνιον
πρώτῳ λόγῳ γράφων οὕτως. Εἴτις εἰσάγει δύο υἱούς, ἕνα μὲν
V 282 τὸν ἐκ τοῦ θεοῦ καὶ πατρός, δεύτερον δὲ τὸν ἐκ τῆς μητρός,
ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτόν, καὶ τῆς υἱοθεσίας ἐκπέσοι τῆς
ἐπηγγελμένης τοῖς ὀρθῶς πιστεύουσι. φύσεις μὲν γὰρ δύο, θεὸς
καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα, υἱοὶ δὲ οὐ δύο οὐδὲ
θεοί· οὐδὲ γὰρ ἐνταῦθα δύο ἄνθρωποι, εἰ καὶ οὕτως ὁ Παῦ-
λος τὸ ἐντὸς τοῦ ἀνθρώπου καὶ τὸ ἐκτὸς προσηγόρευσεν. καὶ εἰ
δεῖ συντόμως εἰπεῖν, ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ σωτήρ, εἴ-
P 354 περ μὴ ταὐτὸν ὁ ἀόρατος τῷ ὁρατῷ καὶ τὸ ἄχρονον τῷ ὑπὸ χρό-
νον, οὐκ ἄλλος δὲ καὶ ἄλλος, μὴ γένοιτο.

Ἰδοὺ διὰ τούτων σαφῶς διδάσκει ὁ ἐν ἁγίοις Γρηγόριος ὅτι
ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου ὁ μὲν ἐπὶ προσώπων τὸν ἀρι-
θμὸν λέγων ὡς ἀσεβὴς κατακρίνεται, ὁ δὲ ἐπὶ τῶν φύσεων, ἐξ ὧν
ὁ εἷς συνετέθη Χριστός, τοῦτον παραλαμβάνων ὀρθῶς ὁμολο-
γεῖ, ὡς τὴν μὲν διαφορὰν τῶν συνελθουσῶν φύσεων διὰ τούτου

2. ὁ om. P. 9. τὸν ἐκ om. P. 15. ὧν ὁ V, ὧν P, ὁ R.
16. τὸ ἀόρατον P. ib. ὑπὸ χρόνον] χρόνῳ P. 19. τῶν ἀρι-
θμῶν RV. 22. τούτου] τοῦτο P.

per partes a se invicem separantur ea, ex quibus Dominus noster Jesus
Christus compositus est, differentiam tamen considerantes et hanc signi-
adsumimus ficare volentes, numerum assumimus, et duas in Christo naturas esse di-
cimus: nec ideo unus Christus in duos Christos, vel in duos filios divi-
ditur. Et testimonium praestat nostris dictis Sanctus Gregorius Theo-
logus, scribens in primo libro ad Cledonium sic: Si quis introducit duos
ex Deo Patre et adopt. filios, unum quidem ex Deo et Patre, secundum autem ex matre, sed
non unum eumdemque, ex adoptione cadat, quae promissa est recte cre-
dentibus. Naturae enim duae, Deus homo, quomodo et anima et cor-
Deus et homo pus: non autem duo Filii, nec Dii duo. Nec enim hi duo homines, licet
Paulus sic appellaverit quod est intus hominis, et quod est extrinsecus:
et ut compendiose dicamus, aliud quidem et aliud ea ex quibus Salva-
tor est, cum non idem sit invisibile et visibile, et hoc quod sine tem-
sub tempore est pore est, et hoc quod sub tempore: non autem alius et alius, absit."

„Ecce per haec evidenter docet Sanctus Gregorius, quod in my-
sterio Christi ille quidem qui in personis numerum dicit, ut impius con-
demnatur: ille autem qui in naturis, ex quibus unus Christus compositus
est, numerum accipit, recte confitetur, utpote differentiam quidem natu-

σημαίνων, διαίρεσιν δὲ τὴν ἀνὰ μέρος κατ' οὐδένα τρόπον ποιού-
μενος. ὥσπερ γὰρ ἑτέρα φύσις τῆς ψυχῆς καὶ ἑτέρα τοῦ σώμα- B
τος, καὶ ὅμως εἷς κατὰ σύνθεσιν ἄνθρωπος ἀποτελεῖται καὶ οὐ
δύο, οὕτω καὶ ἐν Χριστῷ εἰ καὶ δύο φύσεις θεωροῦνται, ἑτέρα
μὲν τῆς θεότητος, ἑτέρα δὲ τῆς ἀνθρωπότητος, ἀλλ' οὐ διὰ
τοῦτο δύο Χριστοὶ ἢ δύο υἱοὶ εἰσάγονται· ὥστε τὸν ἀριθμὸν τῶν B 816
ἐν Χριστῷ φύσεων κατὰ τὸν εἰρημένον τρόπον παραιτούμενοι λέγειν
δῆλοί εἰσι τὴν διαφορὰν τούτων ἀρνούμενοι καὶ σύγχυσιν ἐπεισά-
γοντες τῇ οἰκονομίᾳ. εἰ δὲ τὴν διαφορὰν ὁμολογοῦσιν, ἀνάγκη
πάντως ἐπὶ ταύτῃ καὶ τὸν ἀριθμὸν τῶν ἀσυγχύτως συνελθουσῶν
φύσεων εἰς μίαν ὑπόστασιν λέγειν αὐτούς. ὅπου γὰρ διαφορὰ C
φυλάττεται, ταύτῃ πάντως καὶ ἀριθμὸς ἕπεται. εἰς σύστασιν
δὲ τῶν παρ' ἡμῶν εἰρημένων τῇ τῶν ἁγίων πατέρων μαρτυρίᾳ
χρώμενοι δείξομεν αὐτοὺς λέγοντας ὅτι ἐπὶ τοῦ κατὰ Χριστὸν μυ-
στηρίου οἱ μὲν λόγοι διαιροῦνται κατὰ τὴν διαφορὰν τῶν φύσεων,
θεότητος καὶ ἀνθρωπότητος, ἐξ ὧν καὶ συνετέθη, καὶ τὸν ἀρι-
θμὸν ἐπὶ τούτου παραλαμβάνουσιν, οὐ μὴν πραγματικῶς ἀνὰ μέ-
ρος τὴν τῶν φύσεων ποιοῦνται διαίρεσιν εἰς δύο ὑποστάσεις ἤτοι
δύο πρόσωπα. λέγει γὰρ ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῇ ἑρμηνείᾳ
τοῦ Λευιτικοῦ οὕτως. Ὅλον δὴ πάλιν ἐν τούτοις περιάθρει σα- D
φῶς τοῦ σωτῆρος ἡμῶν τὸ μυστήριον καὶ τὸν διὰ τοῦ ἁγίου
βαπτίσματος καθαρισμόν. δύο μὲν γὰρ ὀρνίθια ληφθῆναι κε-

15. οὕτως] vol. I. p. 366. E. 17. γὰρ om. P.

rarum quae convenerunt, per hoc significans: divisionem autem, quae per partem est, nullo modo faciens. Sicut enim altera natura est animae, et altera corporis, et tamen unus secundum compositionem homo efficitur, et non duo homines: sic et in Christo licet duae intelligantur naturae, altera quidem Deitatis, altera vero humanitatis, sed non propter hoc duo Christi, aut duo filii introducuntur. Ergo qui numerum naturarum quae in Christo sunt, secundum praedictum modum dicere recusant, manifesti sunt differentiam naturarum abnegantes, et confusionem introducentes dispensationi. Si vero differentiam confitentur, necesse est omnimodo ad eam significandam, et numerum dicere naturarum, quae sine confusione in unam subsistentiam convenerunt. Ubi enim differentia servatur, ibi omni modo et numerus sequitur. Ad confirmanda autem ea quae diximus, sanctorum Patrum testimonio utentes, ostendemus eos dicere, quod in uno Domino nostro Jesu Christo rationes quidem dividuntur secundum differentiam naturarum Deitatis et humanitatis ex quibus et compositus est, et numerum in hoc assumunt, non tamen ipsa re et per partes naturarum faciunt divisionem in duas subsistentias sive personas. Dicit enim Sanctus Cyrillus in Levitici interpretatione, sic: Totum in his iterum circumspice aperte Salvatoris nostri mysterium, et emundationem quae per sanctum Baptisma fit. Duas enim aviculas sumi

λεύει ζῶντα καὶ καθαρά, ἵνα νοήσῃς διὰ τῶν πετεινῶν τὸν οὐράνιον ἄνθρωπόν τε ὁμοῦ καὶ θεὸν εἰς δύο φύσεις, ὅσον ἧκεν εἰς τὸν ἑκάστῃ πρέποντα λόγον, διαιρούμενον· λόγος γὰρ ἦν ὁ ἐκ θεοῦ πατρὸς ἀναλάμψας ἐν σαρκὶ τῇ ἐκ γυναικός· πλὴν οὐ μεριζόμενον· εἷς γὰρ ἐξ ἀμφοῖν ὁ Χριστός. καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος ἐν τῇ πρὸς Σούκενσον δευτέρᾳ ἐπιστολῇ γράφει οὕτως. Ἀλλ' ἠγνόησαν ὅτι ὅσα μὴ κατὰ μόνην τὴν θεωρίαν διαι-
P 355 ρεῖσθαι φιλεῖ, ταῦτα οὐ πάντως καὶ εἰς ἑτερότητα τὴν ἀνὰ μέρος ὁλοτρόπως καὶ ἰδικῶς ἀποφοιτήσειεν ἂν ἀπ' ἀλλήλων. καὶ ὁ ἐν ἁγίοις Βασίλειος ἐν τῷ τετάρτῳ κατ' Εὐνομίου λόγῳ, ἑρμηνεύων
V 283 τὸ Κύριος ἔκτισέ με καὶ πρὸ πάντων βουνῶν γεννᾷ με, γράφει οὕτως. Ληπτέον οὖν τὸ μὲν Ἐγέννησεν ἐπὶ τοῦ θεοῦ υἱοῦ, τὸ δὲ Ἔκτισεν ἐπὶ τοῦ τὴν μορφὴν τοῦ δούλου λαβόντος. ἐν πᾶσι δὲ τούτοις οὐ δύο λέγομεν, θεὸν ἰδίᾳ καὶ ἄνθρωπον ἰδίᾳ· εἷς γὰρ ἦν· ἀλλὰ κατ' ἐπίνοιαν τὴν ἑκάστου φύσιν λογιζόμενοι.

R 818 Καὶ ὁ ἐν ἁγίοις δὲ Γρηγόριος ὁ θεολόγος ἐν τῷ περὶ υἱοῦ
B δευτέρῳ λόγῳ διδάσκων ἡμᾶς ὅπως δεῖ τὰς ἐν τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ φύσεις κατ' ἐπίνοιαν διακρίνειν γράφει οὕτως. Ἡνίκα αἱ φύσεις διίστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα. Παύλου λέγοντος ἄκουσον, ἵνα ὁ θεὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ πατὴρ τῆς δόξης Χριστοῦ μὲν θεός, τῆς δὲ

1. νοήσεις P. 3. ὁ om. P. 7. μὴ sumpsi a Cyrillo vol. V. p. II. Epist. p. I. p. 145. B. 15. ἀλλὰ om. P.

jubet vivas et mundas, ut intelligas per volatilia caelestem hominem simul et Deum, in duas naturas, quantum pertinet ad rationem unicuique convenientem, dividendum (Deus enim Verbum, qui ex Deo Patre est, splenduit in carne quae ex muliere est) verumtamen non patiendum, unus enim ex utrisque Christus. „Et iterum idem Sanctus Cyrillus in secunda ad Successum epistola ita dicit:“ Sed ignoraverunt, quod quae per solum intellectum dividi solent, non haec necessario etiam in alteritatem, quae est per partes, omnimodo et specialiter a se invicem separabuntur. „Sed et Sanctus Basilius in quarto libro contra Eunomium, interpretans hoc quod est: *Dominus creavit me, et ante omnes colles genuit me*, ita scribit: Intelligendum hoc quidem quod dicit, *creavit*, de eo qui formam servi accepit. In his autem omnibus non duo dicimus, Deum separatim, et hominem separatim, unus enim erat: sed secundum intellectum, utriusque naturam existimantes.

„Sed et Sanctus Gregorius Theologus in libro secundo de Filio, docens nos quomodo in Domino nostro Jesu Christo oportet naturas quae in eo sunt, secundum intellectum discernere,“ ita scribit: Cum naturae intellectu distant, simul dividuntur etiam nomina. Paulum dicentem audi: *Ut Deus Domini nostri Jesu Christi, pater gloriae; Christi quidem*

ad rationem unicuique dividendum con...

quod dicit, genuit de Deo filio, hoc autem quod dicit creavit. *sic etiam Leunclav.*

δόξης πατήρ. εἰ γὰρ καὶ τὸ συναμφότερον ἕν, ἀλλ' οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ.

Καὶ ὁ ἐν ἁγίοις δὲ Γρηγόριος ὁ Νύσης ἐπίσκοπος ἐν τῷ κατ' Εὐνομίου τετάρτῳ λόγῳ τὰ αὐτὰ ἡμᾶς διδάσκων γράφει οὕτως. Καὶ ὡς ἂν μή τις τῇ ἀκηράτῳ φύσει τὸ κατὰ τὸν σταυ- C *ρὸν πάθος προστρίβοιτο, δι' ἑτέρων τρανότερον τὴν τοιαύτην ἐπανορθοῦται πλάνην, μεσίτην αὐτὸν θεοῦ καὶ ἀνθρώπων καὶ ἄνθρωπον καὶ θεὸν αὐτὸν ὀνομάζων, ἵνα ἐκ τοῦ τὰ δύο περὶ τὸ ἓν λέγεσθαι τὸ πρόσφορον νοοῖτο περὶ ἑκάτερον, περὶ μὲν τὸ θεῖον ἡ ἀπάθεια, περὶ δὲ τὸ ἀνθρώπινον ἡ κατὰ τὸ πάθος οἰκονομία. τῆς οὖν ἐπινοίας διαιρουμένης, τὸ κατὰ φιλανθρωπίαν μὲν ἡνωμένον, τῷ δὲ λόγῳ διακρινόμενον, ὅταν μὲν τὸ ὑπερκείμενον καὶ ὑπερέχον πάντα νοῦν κηρύσσει, τοῖς ὑψηλοτέροις κέχρηται τῶν ὀνομάτων, ἐπὶ πάντων θεὸν καὶ μέγαν θεὸν καὶ δύναμιν θεοῦ* D *καὶ σοφίαν καὶ τὰ τοιαῦτα καλῶν· ὅταν δὲ τὴν ἀναγκαίως διὰ τὸ ἡμέτερον ἀσθενὲς συμπαραληφθεῖσαν τῶν παθημάτων πεῖραν περιγράφει τῷ λόγῳ, ἐκ τοῦ ἡμετέρου κατονομάζει τὸ συναμφότερον, ἄνθρωπον αὐτὸν προσαγορεύων, οὐ κοινοποιῶν πρὸς τὴν λοιπὴν φύσιν διὰ τῆς φωνῆς τὸν δηλούμενον, ἀλλ' ὥστε περὶ ἑκάτερον τὸ εὐσεβὲς φυλαχθῆναι.*

Τούτων οὕτως ἀποδεδειγμένων διὰ τῆς τῶν πατέρων διδασκαλίας, πανσάσθωσαν οἱ τὸν ἀριθμὸν τῶν ἐν Χριστῷ φύσεων

1. καὶ om. R. 3. *Νύσσης* P. 4. τετάρτῳ] τῷ τετάρτῳ P.
6. τρανώτερον P, τὸ ἀνώτερον RV. 17. ἐπιγράφει P.

Deus, gloriae autem Pater. Nam etsi utrumque unum est, tamen non natura, sed conventu.

„Et Sanctus autem Gregorius Nyssenus in quarto libro contra Eunomium, eadem nos docens, ita scribit: Et ne aliquis incorruptibili naturae crucis passionem applicaret, per alia manifestius talem emendat errorem, mediatorem ipsum Dei et hominum, et hominem et Deum ipsum nominans: ut cum duo de uno dicantur, congruum intelligantur circa utrumque, circa Deitatem quidem impassibilitas, circa humanitatem autem dispensatio passionis. Intellectu igitur dividente hoc quod per misericordiam quidem unitum est, ratione autem discernitur, cum hoc quidem, quod superpositum est et supereminens omnem sensum, praedicat, altioribus utitur nominibus, super omnia Deum, et Magnum Deum, et Virtutem Dei, et Sapientiam, et talia vocans: cum autem passionum experimentum necessario propter nostram infirmitatem acceptum, verbis significat, ex nostro nominans utrumque hominem ipsum appellat, non communicans per vocem ad ceteram naturam eum qui significatur, sed ut circa utrumque pietas conservetur. Nysae.

„His ita demonstratis per sanctorum Patrum doctrinam, cessent qui numerum naturarum quae in Christo sunt, occasionem sui erroris faciunt,

πρόφασιν τῆς οἰκείας πλάνης ποιούμενοι καὶ τῷ διὰ τούτου τὴν
P 356 διαφορὰν ἀρνεῖσθαι σύγχυσιν εἰσάγειν ἐπιχειροῦντες. πῶς γὰρ
οὐκ ἀναγκαῖος ἀριθμὸς ᾧ ἐπὶ σημασίᾳ τῆς διαφορᾶς τῶν ἑνωθει-
σῶν εἰς μίαν ὑπόστασιν φύσεων καὶ οὐκ ἐπὶ τῇ ἀνὰ μέρος διαιρέ-
σει αὐτῶν οἱ πατέρες ἐχρήσαντο; ἀποδεδειγμένου τοίνυν παντα-
R 820 χόθεν ὡς ἀσεβές ἐστι τὸ λέγειν μίαν φύσιν ἤτοι οὐσίαν θεότητος
καὶ τῆς σαρκὸς τοῦ Χριστοῦ, κἀκεῖνο ἐροῦμεν ὡς οὐδὲ καθ' ὃ
μίαν ὑπόστασιν λέγομεν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ
Χριστοῦ, οὕτω δυνατὸν καὶ μίαν φύσιν λέγειν Χριστοῦ, ἐπειδὴ
μὴ ταὐτὸν φύσις τε καὶ ὑπόστασις. πάντες γὰρ οἱ ἅγιοι πατέ-
B ρες συμφώνως ἡμᾶς διδάσκουσιν ἄλλο εἶναι φύσιν ἤτοι οὐσίαν καὶ
μορφὴν καὶ ἄλλο ὑπόστασιν ἤτοι πρόσωπον, καὶ τὴν μὲν φύσιν
ἤτοι οὐσίαν καὶ μορφὴν τὸ κοινὸν σημαίνειν, τὴν δὲ ὑπόστασιν
ἤτοι πρόσωπον τὸ ἰδικόν.

V 284 Εἰ δὲ φήσωσί τινες ὅτι ὥσπερ μία ὑπόστασις σύνθετος εἴ-
ρηται ἐπὶ Χριστοῦ, οὕτω δὲ καὶ μίαν φύσιν σύνθετον λέγειν,
ἀποδείξομεν καὶ τοῦτο ἀλλότριον εἶναι τῆς εὐσεβείας. μίαν γὰρ
φύσιν θεότητος ἤτοι οὐσίαν λέγοντες τρεῖς ἐπ' αὐτῆς δοξάζομεν
ὑποστάσεις, ἐν ἑκάστῃ ὑποστάσει τὴν αὐτὴν φύσιν ἤτοι οὐσίαν
γνωρίζοντες, καὶ εὐσεβῶς ἐκ τῶν τριῶν ὑποστάσεων μίαν ὑπό-
C στασιν τὴν τοῦ λόγου πρὸς τὴν σάρκα συντεθεῖσθαί φαμεν. οὐ-
δεὶς γάρ ποτε ἐτόλμησεν ἐν τῇ καθολικῇ ἐκκλησίᾳ εἰπεῖν ὅτι ὥσπερ

10. μήτ' αὐτὸν V, οὔτ' αὐτὸν P. 17. ἀποδείξωμεν PV.

et earum differentiam numeri recusatione negando, confusionem introducere conantur. Quomodo enim non est necessarius numerus, quo, ad significandam differentiam naturarum quae in unam subsistentiam unitae sunt, et non ad divisionem per partes earum, usi sunt Patres? Demonstrato igitur undique, quod impium est dicere unam naturam sive substantiam Deitatis et carnis Christi, et illud dicimus, quia nec secundum quod unam subsistentiam dicimus Deitatis et humanitatis Christi, sic possibile est et unam naturam Christi dicere: quoniam non idem est natura et subsistentia. Omnes enim Sancti Patres consonanter nos docent, aliud esse naturam sive substantiam et formam, et aliud subsistentiam sive personam: et naturam quidem vel substantiam et formam, hoc quod est commune, significare, subsistentiam autem sive personam, hoc quod est speciale."

„Sin vero dixerint quidam, quod sicut una subsistentia composita dicitur Christi, sic oportet et unam naturam compositam dicere: ostendemus et hoc alienum esse a pietate. Unam enim naturam sive substantiam Deitatis dicentes, tres ipsius confitemur subsistentias, in unaquaque subsistentia eamdem naturam sive substantiam cognoscentes. Et recte ex tribus subsistentiis unam subsistentiam Verbi ad carnem compositam esse dicimus. Nemo enim unquam ausus est in Catholica Ecclesia dice-

esse pietatis

τρεῖς ὑποστάσεις, οὕτω καὶ τρεῖς φύσεις εἰσὶν τῆς ἁγίας τριάδος, ὥστε καὶ δύνασθαι λέγειν μίαν φύσιν ἐκ τῶν τριῶν φύσεων συντεθεῖσθαι πρὸς σάρκα. τρεῖς γὰρ φύσεις ἐπὶ τῆς ἁγίας τριάδος μόνος Ἄρειος τολμήσας εἰπεῖν ὡς βλάσφημος κατεκρίθη.

Διὰ τοῦτο τοίνυν κατὰ τὸν ὀρθὸν λόγον δύο φύσεων ἕνωσιν λέγομεν καὶ μίαν ὑπόστασιν, ἐπειδὴ ὁ τοῦ θεοῦ υἱὸς κατὰ τὴν ὑπόστασιν ἕτερος ὢν παρὰ τὸν πατέρα, τῆς αὐτῆς δὲ φύσεως ὢν D
τῷ πατρὶ ἐν τῇ ἰδίᾳ ὑποστάσει, ἐδημιούργησεν ἑαυτῷ σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ, ὅπερ δηλοῖ ἀνθρωπίνῃ φύσει ἑνωθῆναι τὸν τοῦ θεοῦ λόγον καὶ οὐχ ὑποστάσει ἤτοι προσώπῳ τοῦ δή τινος. ἔστι τοίνυν ὁ τοῦ θεοῦ λόγος καὶ σαρκωθεὶς μία ὑπόστασις ἐν ἑκατέρᾳ φύσει γνωριζόμενος, ἔν τε τῇ θείᾳ, ἐν ᾗ ὑπῆρχε κατὰ τὸ Ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, καὶ ἐν τῇ ἀνθρωπίνῃ κατὰ τὸ Ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος. καὶ διὰ τοῦτο εὐσεβῶς εἴποι τις ἂν μίαν ὑπόστασιν τοῦ θεοῦ λό- P 357
γου σύνθετον, ἤπερ μίαν φύσιν σύνθετον, ἐπειδὴ ὅτε καθ' ἑαυτὴν ἁπλῶς φύσις λέγεται μὴ προσκειμένου ταύτῃ ἰδικοῦ τινος προσώπου, ἀόριστόν τι καὶ ἀνυπόστατον δηλοῖ· τὸ δὲ ἀόριστον πρὸς οὐδὲν συντεθῆναι δύναται. εἰ δέ τις καὶ μετὰ τοὺς τοιούτους λόγους πρὸς φιλονεικίαν μόνην ὁρῶν ἀντιθεῖναι ἐπιχειρήσοι,

4. εἰπὼν PV. 7. δὲ om. R. 9. ἐψυχωμένην — p. 358. A ἑνώσεως om. R. 11. τοῦδέ τινος PV. Eustathius ad Odyss. p. 1769. 38. ἔοικε γοῦν τῷ Ὁμηρικῷ καὶ Ξενοφῶντος ἐν Ἑλληνικοῖς τὸ γέγονε τόδε τι ὄντος πολλοῦ. Scripserat τὸ δή τι et fortasse πολλῷ. Infra p. 361. D, πρὸς τόν τινα ἄνθρωπον. 12. ἔν τε] ἐν δὲ P. 13. ὃς] ὡς V. 16. ἤπερ] εἴπερ V. 20. ἐπιχειρήσει P.

re, quod sicut tres subsistentiae, sic et tres naturae sunt sanctae Trinitatis: ut possibile sit dicere, unam naturam ex tribus naturis compositam esse ad carnem. Tres enim naturas in sancta Trinitate solus Arius ausus dicere, tamquam blasphemus condemnatus est."

„Ideo igitur secundum rectam rationem, duarum naturarum dicimus, unitatem.
unitionem, et unam subsistentiam: quoniam Dei Filius, cum esset secun- *sic etiam*
dum subsistentiam alter praeter Patrem, eamdem autem naturam ha- *Leuncl.*
bens Patris, in sua subsistentia plasmavit sibi carnem animatam anima ratio- habet. *sic*
nali et intellectuali: quod significat, humanae naturae unitum esse Deum *etiam*
Verbum, et non subsistentiae seu personae cujusdam. Est igitur Deus *Leuncl.*
Verbum et incarnatus, una subsistentia in utraque natura cognoscendus; in divina, in qua erat, prout dictum est: *Qui cum in forma Dei esset;* et in humana secundum hoc, quod est *in similitudinem hominum factus.* Et ideo rectius dicat aliquis unam subsistentiam Dei Verbi compositam, recte
quam unam naturam compositam: quoniam cum per se absolute natura dicitur, non adjecta ei speciali cujusdam persona, infinitum, et non subsistens aliquid significat: infinitum autem ad nihil potest componi. Sin autem aliquis et post tales rationes ad contentionem solam respiciens,

λέγων ὅτι κατὰ τὸν ἀποδοθέντα τῆς φύσεως λόγον χρὴ καὶ τὴν
ἀνθρωπίνην φύσιν τοῦ Χριστοῦ ἰδίαν ὑπόστασιν ἤτοι πρόσωπον
ἴδιον ἔχειν, πρόδηλός ἐστιν ὁ τοιοῦτος ὅτι προϋποστάντι ἀνθρώ-
πῳ ἑνωθῆναι λέγει τὸν λόγον καὶ σχετικὴν γεγενῆσθαι τὴν ἕνω-
B σιν· δύο γὰρ ὑποστάσεων ἤτοι προσώπων καθ' ὑπόστασιν ἕνω-
σιν γενέσθαι ἀδύνατον. ὥστε ὁ ταῦτα λέγων, τὸ δυνατὸν τοῦ
θεοῦ λόγοις ἀνθρωπίνης σοφίας κενῶσαι σπουδάζων, ἀγνοεῖ τὸ
μέγα τῆς εὐσεβείας μυστήριον, ὅπερ καρδίᾳ μὲν πιστεύεται εἰς
δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν· οὔτε γὰρ ἡ
ἀνθρωπίνη φύσις τοῦ Χριστοῦ ἁπλῶς ποτε λέγεται, ἀλλ' οὔτε
ἰδίαν ὑπόστασιν ἤτοι πρόσωπον ἔσχεν, ἀλλ' ἐν τῇ ὑποστάσει τοῦ
λόγου τὴν ἀρχὴν τῆς ὑπάρξεως ἔλαβεν. ὅθεν αὐτὸν τὸν θεὸν λόγον
ἀτρέπτως ἄνθρωπον γεγενῆσθαι ὁμολογοῦμεν, καὶ οὐκ εἰς ἄνθρω-
C πόν τινα αὐτὸν ἐληλυθέναι, καὶ τοῦ αὐτοῦ θεοῦ λόγου σαρκω-
θέντος τὴν ἐκ παρθένου γέννησιν εἶναι, καὶ διὰ τοῦτο θεοτόκον
εἶναι τὴν ἁγίαν ἔνδοξον ἀειπαρθένον Μαρίαν. διὰ τοῦτο καὶ
V 285 πρὸ τῆς σαρκώσεως τοῦ θεοῦ λόγου καὶ μετὰ τὴν αὐτοῦ σάρκωσιν
τρεῖς ὑποστάσεις λέγομεν, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ
ἁγίου πνεύματος, τῆς ἁγίας τριάδος τετάρτης ὑποστάσεως ἤτοι
προσώπου προσθήκην μὴ ἐπιδεξαμένης. ἐκ τούτων τοίνυν πάν-
των διελέγχονται οἱ λέγοντες πρὸ τῆς ἑνώσεως δύο φύσεις ὡς προϋ-
D ποστάντα λέγουσιν τὸν ἄνθρωπον, καὶ οὕτως ἑνωθῆναι τῷ θεῷ

5. γενέσθαι ἕνωσιν P. 7. ἀνθρωπίνοις V. 21. οἱ om. V.
22. τόν om. P.

e
opponere conetur, dicens quod secundum redditam naturae rationem oportet et humanam naturam Christi suam subsistentiam seu personam propriam habere: manifestus est talis, quod ante subsistenti homini unitum esse dicit Deum Verbum, et affectualem factam esse unitatem. Duae enim subsistentiae seu personae secundum subsistentiam uniri non possunt. Qui igitur haec dicit, Dei potentiam verbis humanae sapientiae evacuare festinans, ignorat magnum pietatis mysterium, quod corde quidem creditur ad justitiam, ore autem confessio sit ad salutem. Neque enim humana Christi natura per se absolute unquam dicitur, sed nec suam subsistentiam seu personam habuit: sed in subsistentia Dei Verbi, natura humana initium ut esset, habuit: unde ipsum Deum Verbum immutabiliter hominem factum esse confitemur, et non in hominem quemdam venisse; et ejusdem Dei Verbi incarnati esse nativitatem ex Virgine, et propter hoc Dei Genitricem sanctam gloriosam semper Virginem Mariam esse. Ideo et ante incarnationem Dei Verbi, et post ejus incarnationem, tres subsistentias dicimus Patris, et Filii, et Spiritus sancti. Non enim sancta Trinitas quartae subsistentiae vel personae adjectionem suscepit. Ex his igitur omnibus convincuntur qui dicunt, ante unitionem duas naturas esse, quod ante plasmatum dicunt hominem, et

λόγῳ, κατὰ τὴν μανίαν Θεοδώρου καὶ Νεστορίου τῶν ἀσεβῶν,
οἵ τε λέγοντες μὴ χρῆναι λέγειν μετὰ τὴν ἕνωσιν δύο φύσεις ἐπὶ
Χριστοῦ, ἀλλὰ μίαν φύσιν καὶ φαντασίαν εἰσάγοντες, κατὰ
Ἀπολλινάριον καὶ Εὐτυχέα τοὺς ἀσεβεῖς. ἀλλ' οὗτοι μὲν ταῦτα.
οἱ δὲ ἅγιοι πατέρες μετὰ τὴν τοῦ λόγου ἐνανθρώπησιν θεωρήσαν-
τες τὰ ἐξ ὧν ὁ Χριστός, καὶ ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ φύ-
σεις, ὀρθότατα τὰς δύο φύσεις, τήν τε θείαν καὶ ἀνθρωπίνην, ἐν
τῷ Χριστῷ εἶναι εἰρήκασιν. οὔτε γὰρ πρὸ τῆς ἐνανθρωπήσεως
δύο φύσεις ἦσαν τοῦ κυρίου, οὔτε μετὰ τὴν ἐνανθρώπησιν αἱ P 358
δύο μία γεγόνασιν, εἰ καὶ ἐν μιᾷ ὑποστάσει γνωρίζονται.

Ταῦτα δὲ καὶ ἐκ τῶν θείων γραφῶν καὶ ἐκ τῆς τῶν πατέ-
ρων διδασκαλίας διδαχθέντες πρὸς ἀνατροπὴν τῶν συγχεόντων
καὶ τεμνόντων τὸ τῆς θείας οἰκονομίας μυστήριον εἰκότως ἐγρά-
ψαμεν, καὶ οὐ τῷ σαφηνίζειν τὰ ἐξ ὧν ἐστι καὶ ἐν οἷς γνωρίζε-
ται ὁ Χριστὸς σύγχυσιν ἢ διαίρεσιν τῇ θείᾳ οἰκονομίᾳ εἰσάγομεν.
ἀμέλει δοξολογίαν καὶ τὸν τῆς ἑνώσεως λόγον προφέροντες ἕνα
Χριστὸν καὶ υἱὸν καὶ κύριον τὸν τοῦ θεοῦ λόγον σεσαρκωμένον
καὶ ἐνανθρωπήσαντα ὁμολογοῦμέν τε καὶ προσκυνοῦμεν σὺν τῷ
πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι. τούτων οὕτως ὑπὸ τῆς τοῦ θεοῦ B
καθολικῆς ἐκκλησίας ὁμολογουμένων, γινώσκειν βουλόμεθα πάν-
τας τοὺς Χριστιανοὺς ὅτι ὥσπερ ἕνα θεὸν καὶ κύριον ἔχομεν, οὕ-

2. οἱ δὲ PV. 3. φύσιν σύγχυσιν P. 4. Ἀπολιναριον PV. ib. Εὐτυχέα] „Εὐτυχέτα cod. Vatic." m. P. Mea excerpta tacent. Non minus rectum Εὐτύχητα quam Εὐτυχέα. 9. οὐδὲ PV. 14. οὕτω σαφηνίζει V. 16. λόγον δὲ προφέροντες P sola. 19. τοῦ θεοῦ om. P.

sic unitum esse Deo Verbo, secundum insaniam Theodori et Nestorii impiorum. Qui autem dicunt, quod non oportet post unitatem duas naturas in Christo, sed unam dicere, confusionem et phantasiam introducunt secundum Apollinarium et Eutychen impios. Sed isti quidem haec. Sancti vero Patres, post Dei verbi incarnationem considerantes ea, ex quibus Christus est, et quod inconfusae manserunt naturae, rectissime duas naturas, Divinam et humanam, in Christo esse dixerunt. Nec enim ante incarnationem duae naturae erant Domini, nec post incarnationem duae naturae una factae sunt, licet in una subsistentia cognoscantur."

„Haec autem et ex divinis Scripturis, et Patrum doctrina edocti, ad refutandos eos qui confundunt et dividunt divinae dispensationis mysterium, merito scripsimus, et non eo quod declaramus ea, ex quibus est, et in quibus cognoscitur Christus, confusionem vel divisionem divinae dispensationi facimus. Itaque glorificationem et unitionis rationem proferentes, unum Christum et Filium et Dominum, Verbum Dei incarnatum et hominem factum confitemur, et adoramus cum Patre et Spiritu sancto.
Haec ita cum universali Dei Ecclesia confitentes, scire volumus omnes universalis
Christianos, quod sicut unum Deum et Dominum habemus, ita et unam D. E. confitetur

R 822 τω καὶ μίαν πίστιν. εἷς γάρ ἐστιν ὅρος πίστεως τὸ ὁμολογεῖν καὶ
ὀρθῶς δοξάζειν πατέρα καὶ Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ καὶ ἅγιον
πνεῦμα. ταύτην τὴν ὁμολογίαν φυλάττομεν, εἰς ἣν καὶ ἐβαπτί-
σθημεν, δωρηθεῖσαν μὲν παρὰ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος
ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστό-
λοις, παρ' αὐτῶν δὲ κηρυχθεῖσαν ἐν ὅλῳ τῷ κόσμῳ. οἱ δὲ τι'
C καὶ η' ἅγιοι πατέρες οἱ συναχθέντες ἐν Νικαίᾳ κατὰ Ἀρείου, καὶ
τοῦτον μετὰ τῆς αὐτοῦ ἀσεβείας καταδικάσαντες, τὴν αὐτὴν ὁμο-
λογίαν ἤτοι σύμβολον καὶ μάθημα τῆς πίστεως παραδεδώκασι
τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ, καὶ μετ' ἐκείνους οἱ ρν' ἅγιοι πατέ-
ρες οἱ συναχθέντες ἐν Κωνσταντινουπόλει κατὰ Μακεδονίου τοῦ
πνευματομάχου καὶ Μάγνου τοῦ Ἀπολλιναριστοῦ καὶ τούτους κα-
ταδικάσαντες μετὰ τῆς αὐτῶν ἀσεβείας, ἀκολουθοῦντές τε κατὰ
πάντα τῷ αὐτῷ ἁγίῳ συμβόλῳ τῷ παρὰ τῶν τιη' ἁγίων
πατέρων παραδοθέντι, ἐτράνωσαν τὰ περὶ τῆς θεότητος τοῦ
D ἁγίου πνεύματος. ἔτι δὲ καὶ οἱ ἐν Ἐφέσῳ συναχθέντες τὸ πρό-
τερον ἅγιοι πατέρες κατὰ Νεστορίου τοῦ δυσσεβοῦς καὶ οἱ ἐν
Χαλκηδόνι ἅγιοι πατέρες κατὰ Εὐτυχοῦς τοῦ δυσσεβοῦς, ἀκολου-
θήσαντες κατὰ πάντα τῷ εἰρημένῳ ἁγίῳ συμβόλῳ ἤτοι μαθήματι
τῆς πίστεως, κατεδίκασαν τοὺς προειρημένους αἱρετικοὺς μετὰ τῆς
αὐτῶν ἀσεβείας καὶ τῶν τὰ ὅμοια αὐτοῖς φρονησάντων ἢ φρο-
νούντων.

6. τ' καὶ ιη' P sola. 7. ἅγιοι om. P. 9. ἢ P sola. 12. Ἀπολιναριστοῦ PV. 15. περὶ] παρὰ PV. 17. οἱ ἅγιοι P.

fidem. Una enim definitio fidei est, confiteri et recte glorificare Patrem, et Christum Filium Dei, et Spiritum sanctum. Istam confessionem conservamus, in qua et baptizati sumus, donatam quidem a magno Deo et Salvatore nostro Jesu Christo sanctis suis Discipulis et Apostolis, ab eis autem praedicatam in toto mundo. Trecenti autem decem et octo sancti Patres collecti in Nicaea adversus Arium, illo cum sua impietate condemnato, eamdem confessionem, id est, sanctum Mathema et Symbolum fidei tradiderunt sanctae Dei Ecclesiae; et post illos, centum quinquaginta sancti Patres Constantinopoli collecti adversus Macedonium sancto Spiritui repugnantem, et Magnum Apollinaristam, illis condemnatis cum sua perfidia, secuti per omnia idem sanctum Symbolum traditum a tre-
quae sunt. centis decem et octo sanctis Patribus, explanaverunt quae sunt de Dei-
desunt, et a- tate sancti Spiritus. Insuper autem et qui in Epheso prius collecti sunt
pud Leuncl. sancti Patres adversus Nestorium impium, et qui in Calchedone conve-
Eutycen. nerunt sancti Patres adversus Eutychem impium, secuti per omnia prae-
sic alibi. dictum sanctum Symbolum sive Mathema fidei, condemnaverunt praedi-
et his ctos haereticos una cum eorum impietate, et hos qui similia illis saperunt, vel sapiunt."

Καὶ πρὸς τούτοις ἀνεθεμάτισαν τοὺς ἕτερον ὅρον πίστεως V 286
ἤτοι σύμβολον καὶ μάθημα παραδιδόντας τοῖς προσιοῦσιν τῷ
ἁγίῳ βαπτίσματι ἢ ἐξ οἵας δή ποτε αἱρέσεως ἐπιστρέφουσι πα-
ρὰ τὸν παραδοθέντα, ὡς εἴρηται, ὑπὸ τῶν τι' καὶ η' ἁγίων P 359
πατέρων καὶ τρανωθέντα ὑπὸ τῶν ρν' ἁγίων πατέρων.

Τούτων οὕτως ἐχόντων συνείδαμεν καὶ κεφάλαια ὑποτάξαι τήν τε τῆς ὀρθῆς πίστεως ὁμολογίαν ἐν συντόμῳ τήν τε τῶν αἱρετικῶν κατάκρισιν περιέχοντα.

Εἴ τις οὐχ ὁμολογεῖ πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον, μίαν θεότητα, ἤγουν φύσιν καὶ οὐσίαν, μίαν τε δύναμιν καὶ ἐξουσίαν ἐν τρισὶν ὑποστάσεσιν, ἤγουν προσώποις, προσκυνουμένην, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις οὐχ ὁμολογεῖ τὸν πρὸ αἰώνων καὶ ἀχρόνως ἐκ τοῦ R 824
πατρὸς γεννηθέντα θεὸν λόγον, ἐπ' ἐσχάτων τῶν ἡμερῶν σαρ- B
κωθέντα ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ἄνθρωπον γενόμενον, γεννηθέντα ἐξ αὐτῆς, καὶ διὰ τοῦτο τοῦ αὐτοῦ θεοῦ λόγου εἶναι τὰς δύο γεννήσεις, τήν τε πρὸ αἰώνων ἀσωμάτως καὶ τὴν ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατὰ σάρκα, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις λέγει ἄλλον εἶναι τὸν θεὸν λόγον τὸν θαυματουργήσαντα καὶ ἄλλον τὸν Χριστὸν τὸν παθόντα, ἢ τὸν θεὸν λόγον

3. οἵας ποτε P. 4. τιη' P. 6. συνοίδαμεν P. 7. τῶν om. P. 8. κατάκρισιν] παράκρισιν PV. 9. οὐκ V hic et 13. 17. θεοῦ om. P.

„Et super haec anathematizaverunt eos, qui aliam definitionem fidei, sive Symbolum, sive Mathema tradunt accedentibus ad sanctum Baptisma, vel ex quacumque haeresi conversis, praeter traditum (sicut dictum est) a trecentis decem et octo sanctis Patribus, et explanatum a centum quinquaginta sanctis Patribus."

„His ita se habentibus, perspeximus et capitula supponere, quibus tam rectae fidei compendiosa confessio, quam haereticorum condemnatio continetur."

I. „Si quis non confitetur Patrem, et Filium, et Spiritum sanctum, Trinitatem consubstantialem, unam Deitatem, seu naturam, et substantiam, et Unam virtutem et Potestatem in tribus subsistentiis seu Personis adorandam, talis anathema sit."

II. „Si quis non confitetur eum, qui ante saecula et sine tempore ex Patre natus est, Deum Verbum in ultimis diebus descendisse de coelis, et incarnatum esse de sancta gloriosa Dei Genitrice et semper Virgine Maria, et hominem factum, natum esse ex ipsa, et propter hoc ejusdem Dei Verbi duas esse nativitates, eam quae est in ultimis diebus secundum carnem, talis anathema sit."

III. „Si quis dicit alium esse Deum Verbum qui miracula operatus est, et alium Christum qui passus est, aut dicit Deum Verbum cum Christo

nativitates, quae est ante saecula incorpora-

συνεῖναι λέγει τῷ Χριστῷ, γενομένῳ ἐκ γυναικός, ἢ ἐν αὐτῷ εἶναι ὡς ἄλλον ἐν ἄλλῳ, ἀλλ᾽ οὐχὶ ἕνα καὶ τὸν αὐτὸν κύριον ἡμῶν Ἰη-
C σοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, καὶ τοῦ αὐτοῦ τά τε θαύματα καὶ τὰ πάθη, ἅπερ ἑκουσίως ὑπέμεινε σαρκί, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις λέγει κατὰ χάριν ἢ κατ᾽ ἐνέργειαν ἢ κατ᾽ ἀξίαν ἢ κατ᾽ ἰσοτιμίαν ἢ κατ᾽ αὐθεντίαν ἢ ἀναφορὰν ἢ σχέσιν ἢ δύναμιν τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς ἄνθρωπον γεγενῆσθαι ἢ καθ᾽ ὁμωνυμίαν, καθ᾽ ἣν οἱ Νεστοριανοί, καὶ τὸν θεὸν λόγον Χριστὸν καλοῦντες, καὶ τὸν ἄνθρωπον κεχωρισμένως Χριστὸν ὀνομά-
D ζοντες, κατὰ μόνην τὴν προσηγορίαν ἕνα Χριστὸν λέγοντες, ἢ εἴ τις λέγει κατ᾽ εὐδοκίαν τὴν ἕνωσιν γεγενῆσθαι, καθὼς Θεόδωρος ὁ αἱρετικὸς αὐταῖς λέξεσι λέγει, ὡς ἀρεσθέντος τοῦ θεοῦ λόγου τοῦ ἀνθρώπου ἀπὸ τοῦ εὖ καὶ καλὰ δόξαι αὐτῷ περὶ αὐτοῦ, ἀλλ᾽ οὐχὶ καθ᾽ ὑπόστασιν τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα, ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ, τὴν ἕνωσιν ὁμολογεῖ, καὶ διὰ τοῦτο μίαν αὐτοῦ τὴν ὑπόστασιν σύνθετον, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις κατὰ ἀναφορὰν ἢ καταχρηστικῶς θεοτόκον λέγει τὴν ἁγίαν ἔνδοξον ἀειπαρθένον Μαρίαν ἢ ἀνθρωποτόκον ἢ χριστοτό-
P 860 κον, ὡς τοῦ Χριστοῦ μὴ ὄντος θεοῦ, ἀλλὰ μὴ κυρίως καὶ κατ᾽ ἀλήθειαν θεοτόκον αὐτὴν ὁμολογεῖ, διὰ τὸ τὸν πρὸ αἰώνων ἐκ

2. καὶ om. P. 9. θεὸν om. P. *ib.* Χριστοῦ P. 13. τῷ θεῷ λόγῳ P. 15. ἐμψυχωμένην P.

biliter, et quae est in ult. *sic etiam Leuncl.*

esse nascente ex muliere, vel in ipso esse tamquam alterum in altero, sed non unum eumdemque Dominum nostrum Jesum Christum, Deum Verbum incarnatum et hominem factum, et ejusdem ipsius miracula et passiones, quas carne sponte sustinuit, talis anathema sit."

IV. „Si quis dicit secundum gratiam, vel secundum operationem, vel secundum dignitatem, vel secundum aequalitatem honoris, vel secundum auctoritatem, vel relationem, vel affectum, vel virtutem, unitionem Dei Verbi ad hominem factam esse, vel secundum homonymiam, per quam Nestoriani et Deum Verbum vocantes Christum et hominem separatim Christum nominantes, solo vocabulo unum Christum dicunt: aut si quis per bonam voluntatem dicit unitionem factam esse, sicut Theodorus haereticus ipsis verbis dicit, quasi placuit Deo Verbo homo, eo quod bene visum est ei de ipso, sed non secundum subsistentiam Dei Verbi ad carnem animatam anima rationali et intellectuali unitionem confitetur, et ideo unam ejus subsistentiam compositam esse, talis anathema sit."

V. „Si quis per relationem, aut abusive, Dei genitricem dicit sanctam gloriosam semper Virginem Mariam, aut hominis genitricem, aut Christotocon, tamquam Christo Deo non existente, sed non proprie et vere Dei Genitricem ipsam confitetur, eo quod ipse qui ante saecula ex Patre

τοῦ πατρὸς γεννηθέντα θεὸν λόγον ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐξ R 826 αὐτῆς σαρκωθῆναι καὶ γεννηθῆναι, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις οὐχ ὁμολογεῖ τὸν ἐσταυρωμένον σαρκὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν θεὸν εἶναι ἀληθινὸν καὶ κύριον τῆς δόξης καὶ V 287 ἕνα τῆς ἁγίας τριάδος, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις ἐν δυσὶ φύσεσι λέγων μὴ ὡς ἐν θεότητι καὶ ἐν ἀνθρωπότητι τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον σαρκωθέντα ὁμολογεῖ, μηδὲ ἐπὶ τῷ σημᾶναι τὴν διαφορὰν B τῶν φύσεων, ἐξ ὧν καὶ συνετέθη, ἀλλ' ἐπὶ διαιρέσει τῇ ἀνὰ μέρος τὴν τοιαύτην λαμβάνει φωνὴν ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου, ὡς κεχωρισμένας καὶ ἰδιοϋποστάτους εἶναι τὰς φύσεις, καθὼς Θεόδωρος καὶ Νεστόριος βλασφημοῦσιν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις ἐπὶ τοῦ ἑνὸς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τουτέστιν τοῦ σαρκωθέντος θεοῦ λόγου, τὸν ἀριθμὸν τῶν φύσεων ὁμολογῶν μὴ τῇ θεωρίᾳ τὴν διαφορὰν τούτων ἐξ ὧν καὶ συνετέθη λαμβάνει, ὡς ταύτης οὐκ ἀνῃρημένης διὰ τὴν ἕνωσιν, ἀλλ' ἐπὶ διαιρέσει τῇ ἀνὰ μέρος τῷ ἀριθμῷ κέχρηται, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Εἴ τις λέγων μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην οὐχ C οὕτως αὐτὸ ἐκλαμβάνει ὡς ὅτι ἐκ τῆς θείας φύσεως καὶ τῆς ἀν-

3. οὐκ V. 6. καὶ ἐνανθρωπότητι PV. 18. τῇ διαιρέσει τῇ P. ib. ὁ om. P.

natus est Deus Verbum, in ultimis diebus ex ipsa incarnatus et natus est, talis anathema sit."

VI. „Si quis non confitetur Dominum nostrum Jesum Christum qui carne crucifixus est, Deum esse verum, et Dominum gloriae, et unum de sancta Trinitate, talis anathema sit."

VII. „Si quis in duabus naturis dicens non tamquam in Deitate et humanitate unum Dominum nostrum Jesum Christum, Deum Verbum incarnatum confitetur, nec ad significandam differentiam naturarum, ex quibus compositus est, sed pro divisione per partem, talem excipit vocem in mysterio Christi, quasi separatim unaquaque natura suam habente subsistentiam, sicut Theodorus et Nestorius blasphemaverunt, talis anathema sit."

VIII. „Si quis in uno Domino Jesu Christo, hoc est, Deo Verbo incarnato, numerum confitens naturarum, non intellectu differentiam earum, ex quibus et compositus est, excipit, utpote non interemptam propter unitatem, sed pro divisione per partem numero utitur, talis anathema sit."

IX. „Si quis dicens unam naturam Dei Verbi incarnatam, non sic hoc intelligit, quod ex divina natura et humana unus Christus effectus est,

θρωπίνης εἷς Χριστὸς ἀπετελέσθη, ὁμοούσιος τῷ πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιος ἡμῖν ὁ αὐτὸς κατὰ τὴν ἀνθρωπότητα, ἀλλ' ὅτι τῆς θεότητος καὶ τῆς σαρκὸς τοῦ Χριστοῦ μία φύσις ἤτοι οὐσία ἀπετελέσθη κατὰ τὴν Ἀπολλιναρίου καὶ Εὐτυχοῦς κακοπιστίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω. ἐφίσης γὰρ καὶ τοὺς ἀνὰ μέρος διαιροῦντας ἤτοι τέμνοντας καὶ τοὺς συγχέοντας τὸ τῆς θείας οἰκονομίας μυστήριον τοῦ Χριστοῦ ἀποστρέφεται καὶ ἀναθεματίζει ἡ καθολικὴ ἐκκλησία.

D *Εἴ τις μὴ ἀναθεματίζει Ἄρειον, Εὐνόμιον, Μακεδόνιον, Ἀπολλινάριον, Νεστόριον, Εὐτυχέα, καὶ τοὺς τὰ ὅμοια τούτοις φρονοῦντας ἢ φρονήσαντας, ἀνάθεμα ἔστω.*

R 828 *Εἴ τις ἀντιποιεῖται Θεοδώρου τοῦ Μοψουεστίας, τοῦ εἰπόντος ἄλλον εἶναι τὸν θεὸν λόγον καὶ ἄλλον τὸν Χριστόν, ὑπὸ παθῶν ψυχῆς καὶ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν ἐνοχλούμενον, καὶ ἐκ προκοπῆς ἔργων βελτιωθέντα, καὶ βαπτισθέντα εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, καὶ διὰ τοῦ βαπτίσματος τὴν*
P 361 *χάριν τοῦ ἁγίου πνεύματος λαβεῖν καὶ υἱοθεσίας ἀξιωθῆναι, καὶ κατ' ἰσότητα βασιλικῆς εἰκόνος εἰς πρόσωπον τοῦ θεοῦ λόγου προσκυνούμενον καὶ μετὰ τὴν ἀνάστασιν ἄτρεπτον ταῖς ἐννοίαις καὶ ἀναμάρτητον παντελῶς γενόμενον, καὶ πάλιν εἰρηκότος τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς τὸν Χριστὸν τοιαύτην γεγενῆσθαι, οἵαν εἶπεν ὁ ἀπόστολος ἐπὶ ἀνδρὸς καὶ γυναικός, Ἔσονται οἱ δύο*

5. ἔστω] αὐτῷ V. *ib.* ἐφ' ἴσης P. 22. ὁ ἀπόστολος] Ephes. V. 31. *ib.* οἱ om. P.

consubstantialis Patri secundum Deitatem, et consubstantialis nobis idem ipse secundum humanitatem, sed quod Deitatis et carnis Christi una natura sive substantia effecta est secundum Apollinarii, et Eutychetis perfidiam, talis anathema sit."

„Aequaliter enim et eos qui per partem incidunt vel dividunt, et eos qui confundunt divinae dispensationis mysterium Christi, rejicit et condemnat universalis Dei Ecclesia."

X. „Si quis non anathematizat Arium, Eunomium, Macedonium, Apolinarium, Nestorium, Eutychem, et eos qui similia eis sapuerunt vel sapiunt, talis anathema sit."

XI. „Si quis defendit Theodorum Mopsuestenum, qui dixit alium esse Deum Verbum, et alium Christum a passionibus animae et desideriis carnis molestias patientem, et ex profectu operum melioratum, et baptizatum in nomine Patris, et Filii, et Spiritus sancti, et per
adfil. Baptisma gratiam sancti Spiritus accepisse, et affiliationem meruisse, et ad similitudinem imperialis imaginis in personam Dei Verbi adorari, et post resurrectionem immutabilem cogitationibus, et impeccabilem omnino factum fuisse: et iterum dixit talem factam esse unitionem Dei Verbi ad Christum, qualem dixit Apostolus de vire et mu-

εἰς σάρκα μίαν, καὶ πρὸς ταῖς ἄλλαις ἀναριθμήτοις αὐτοῦ βλασφημίαις τολμήσαντος εἰπεῖν ὅτι μετὰ τὴν ἀνάστασιν ἐμφυσήσας ὁ κύριος τοῖς μαθηταῖς καὶ εἰπών, Λάβετε πνεῦμα ἅγιον, οὐ δεδωκὼς αὐτοῖς πνεῦμα ἅγιον, ἀλλὰ σχήματι μόνον ἐνεφύσησεν. B οὗτος δὲ καὶ τὴν ὁμολογίαν Θωμᾶ, ἣν ἐπὶ τῇ ψηλαφήσει τῶν χειρῶν καὶ τῆς πλευρᾶς τοῦ κυρίου μετὰ τὴν ἀνάστασιν τὸ Ὁ κύριός μου καὶ θεός μου εἶπεν, μὴ εἰρῆσθαι περὶ τοῦ Χριστοῦ παρὰ τοῦ Θωμᾶ· οὐδὲ γὰρ εἶναι λέγει τὸν Χριστὸν θεόν, ἀλλ' ἐπὶ τῷ παραδόξῳ τῆς ἀναστάσεως ἐκπλαγέντα τὸν Θωμᾶν ὑμνῆσαι τὸν θεὸν τὸν ἐγείραντα τὸν Χριστόν. τὸ δὲ χεῖρον, ὅτι καὶ ἐν τῇ τῶν Πράξεων τῶν ἀποστόλων γενομένῃ παρ' αὐτοῦ δῆθεν ἑρμηνείᾳ συγκρίνων ὁ αὐτὸς Θεόδωρος τὸν Χριστὸν Πλάτωνι καὶ V 288 Μανιχαίῳ καὶ Ἐπικούρῳ καὶ Μαρκίωνι λέγει ὅτι ὥσπερ ἐκείνων ἕκαστος εὑράμενος οἰκεῖον δόγμα τοὺς αὐτῷ μαθητεύσαντας πε- C ποίηκε καλεῖσθαι Πλατωνικοὺς καὶ Μανιχαίους καὶ Ἐπικουρείους καὶ Μαρκιωνιστάς, τὸν ὅμοιον τρόπον καὶ τοῦ Χριστοῦ εὑραμένου τὸ δόγμα ἐξ αὐτοῦ τοὺς χριστιανοὺς καλεῖσθαι. εἴ τις τοίνυν ἀντιποιεῖται Θεοδώρου τοῦ τὰ τοιαῦτα βλασφημήσαντος, ἀλλὰ μὴ ἀναθεματίζει αὐτὸν καὶ τὰ αὐτοῦ συγγράμματα καὶ τοὺς τὰ ὅμοια αὐτοῦ φρονοῦντας ἢ φρονήσαντας, ἀνάθεμα ἔστω.

Εἴ τις ἀντιποιεῖται τῶν συγγραμμάτων Θεοδωρήτου, ἅπερ ἐξέθετο ὑπὲρ Νεστορίου τοῦ αἱρετικοῦ καὶ κατὰ τῆς ὀρθῆς πί- R 830

3. εἰπών] Ioan. XX. 22. ib. τὸ πνεῦμα P. 3. οὐ P. 10. τὸν alterum om. P. ib. τόδε PV. ib. καὶ om. P. 19. ἀναθεματίσει PV.

liere: *Erunt duo in carne una:* et super alias suas innumerabiles blasphemias ausus est dicere, quod post resurrectionem cum insufflasset Dominus Discipulis suis, et dixisset: *Accipite spiritum sanctum:* non dedit eis Spiritum sanctum, sed figuratim tantummodo insufflavit. Sed et con- (Sed etiam. *sic et Leuncl.*) fessionem, quam fecit Thomas cum palpasset manus et latus Domini post resurrectionem, dicens: *Dominus meus, et Deus meus*, inquit non esse dictam a Thoma de Christo, (nec enim dixit Theodorus Deum esse Christum) sed ad miraculum resurrectionis stupefactum Thomam glorificasse Deum, qui Christum resuscitavit. Et quod pejus est, etiam in interpretatione quam in Actis Apostolorum scripsit Theodorus, similem fecit Christum Platoni, et Manichaeo, et Epicuro, et Marcioni, dicens quod sicut illorum unusquisque ex dogmate quod invenit, suos discipulos fecit vocari Platonicos, et Manichaeos, et Epicureos, et Marcionistas, simili (Epicurios) modo et cum Christus dogma invenisset, ex ipso Christianos vocari. Si quis igitur defendit eumdem Theodorum, qui talia blasphemavit, et non anathematizat eum, et ejus conscripta, et eos qui similia illi sapuerunt, vel sapiunt, talis anathema sit."

„Si quis defendit conscripta Theodoreti, quae exposuit pro Nestorio haeretico adversus rectam fidem, et Ephesinam primam sanctam Syno-

στεως καὶ τῆς ἐν Ἐφέσῳ πρώτης ἁγίας συνόδου καὶ τοῦ ἐν ἁγίοις
D Κυρίλλου καὶ τῶν ιβ' αὐτοῦ κεφαλαίων, ἐν οἷς ἀσεβέσι συγγράμ-
μασι σχετικὴν λέγει τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς τόν τινα ἄν-
θρωπον, περὶ οὗ βλασφημῶν λέγει ὅτι ἐψηλάφησεν Θωμᾶς τὸν
ἀναστάντα καὶ προσεκύνησε τὸν ἐγείραντα. καὶ διὰ τοῦτο ἀσε-
βεῖς καλεῖ τοὺς τῆς ἐκκλησίας διδασκάλους τοὺς καθ' ὑπόστασιν
τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα ὁμολογοῦντας. καὶ
πρὸς τούτοις θεοτόκον ἀπαρνεῖται τὴν ἁγίαν ἔνδοξον ἀειπαρθένον
Μαρίαν. εἴ τις τοίνυν τὰ εἰρημένα συγγράμματα Θεοδωρήτου
ἐπαινεῖ, ἀλλὰ μὴ ἀναθεματίζει αὐτά, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.
P 362 διὰ ταύτας γὰρ τὰς βλασφημίας τῆς ἐπισκοπῆς ἐξεβλήθη, καὶ
μετὰ ταῦτα ἐν τῇ ἁγίᾳ συνόδῳ τῇ ἐν Χαλκηδόνι συνωθήθη πάν-
τα τὰ ἐναντία τοῖς μνημονευθεῖσιν αὐτοῦ συγγράμμασιν ποιῆσαι
καὶ τὴν ὀρθὴν πίστιν ὁμολογῆσαι.

Εἴ τις ἀντιποιεῖται τῆς ἀσεβοῦς ἐπιστολῆς τῆς λεγομένης
παρὰ Ἴβα γεγράφθαι πρὸς Μάριν τὸν Πέρσην τὸν αἱρετικόν, τῆς
ἀρνουμένης τὸν θεὸν λόγον ἄνθρωπον γεγενῆσθαι καὶ λεγούσης
μὴ τὸν λόγον ἐκ τῆς παρθένου σαρκωθέντα γεννηθῆναι, ἀλλὰ
ψιλὸν ἄνθρωπον ἐξ αὐτῆς γεννηθῆναι, ὃν ναὸν ἀποκαλεῖ, ὡς
ἄλλον εἶναι τὸν θεὸν λόγον καὶ ἄλλον τὸν ἄνθρωπον, πρὸς τού-
B τοις δὲ ἐνυβριζούσης τὴν ἐν Ἐφέσῳ πρώτην σύνοδον, ὡς χωρὶς
ζητήσεως καὶ κρίσεως Νεστόριον καταδικάσασαν, καὶ τὸν ἐν

18. τὸν θεὸν λόγον P. 19. ψιλὸν τὸν ἄνθρωπον P sola. 22. καταδικασάσης P sola.

dum, et Sanctum Cyrillum, et duodecim ejus capitula, in quibus sceleratis conscriptis idem Theodoretus affectualem dicit unitatem Dei Verbi ad hominem quemdam, de quo blasphemans dixit, quod palpavit Thomas eum qui resurrexit, et adoravit eum qui resuscitavit; et propter hoc impios vocat Doctores Ecclesiae, qui unitatem secundum subsistentiam Dei Verbi ad carnem confitentur. Et super haec Dei Genitricem abnegat sanctam et gloriosam semper Virginem Mariam. Si quis igitur memorata conscripta Theodoreti defendit, et non anathematizat ea, talis anathema sit. Propter tales enim blasphemias ab episcopatu dejectus est, et postea in sancto Calchedonensi Concilio compulsus est omnia contraria memoratis suis conscriptis facere, et rectam fidem confiteri."

„Si quis defendit impiam epistolam, quam ad Marim Persam haereticum Ibas scripsisse dicitur, quae abnegat Deum Verbum hominem factum esse, et dicit non Deum Verbum ex Virgine incarnatum, natum esse, sed purum hominem ex ipsa esse natum, quem Templum vocat, ut alius sit Deus Verbum, et alius homo: et super haec injuriat Ephesinam primam Synodum, quasi sine inquisitione et examinatione ab ipsa Nestorio condemnato, et sanctum Cyrillum vocat haereticum, et duodecim

ἁγίοις Κύριλλον αἱρετικὸν ἀποκαλούσης καὶ ἀσεβῆ τὰ ιβ' αὐτοῦ κεφάλαια, Νεστόριον δὲ καὶ Θεόδωρον μετὰ τῶν ἀσεβῶν αὐτοῦ συγγραμμάτων ἐπαινούσης καὶ ἐκδικούσης· εἴ τις τοίνυν, καθὰ εἴρηται, τὴν εἰρημένην ἀσεβῆ ἐπιστολὴν ἐκδικεῖ ἢ ὀρθὴν αὐτὴν εἶναι λέγει ἢ μέρος αὐτῆς, ἀλλὰ μὴ ἀναθεματίζει αὐτήν, ἀνάθεμα ἔστω.

Τῆς τοιαύτης τοίνυν ἐπιστολῆς δικαίως ἀναθεματισθείσης
διὰ τὰς περιεχομένας αὐτῇ βλασφημίας, οἱ τὰ Θεοδώρου καὶ C
Νεστορίου τῶν ἀσεβῶν φρονοῦντες ἐπιχειροῦσι λέγειν ταύτην δε-
δέχθαι παρὰ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου. τοῦτο δὲ λέγουσι
τὴν μὲν ἁγίαν σύνοδον συκοφαντοῦντες, τῷ δὲ ταύτης προσχή-
ματι σπουδάζοντες τῆς ὀφειλομένης κατακρίσεως ἐλευθερῶσαι R 832
Θεόδωρον καὶ Νεστόριον καὶ τὴν ἀσεβῆ ἐπιστολήν, περὶ ἧς Ἴβας
πολλάκις κατηγορηθεὶς οὐκ ἐτόλμησε ταύτην οἰκειώσασθαι διὰ
τὰς περιεχομένας αὐτῇ βλασφημίας. καὶ ταῦτα ἀποδείξομεν ἐκ
τῶν διαφόρως περὶ τούτου κεκινημένων. ἐν γὰρ τοῖς παρὰ Φω- V 289
τίου καὶ Εὐσταθίου πεπραγμένοις ἐν Τύρῳ κατηγορούμενος ὁ
προλεχθεὶς Ἴβας περὶ τῶν ὕβρεων τοῦ ἐν ἁγίοις Κυρίλλου φανε-
ρῶς κατέθετο μετὰ τὴν ἕνωσιν τῶν ἀνατολικῶν τὴν πρὸς τὸν ἐν D
ἁγίοις Κύριλλον μηδὲν ὕβρεως ἐχόμενον εἰρηκέναι περὶ αὐτοῦ. ἡ
δὲ ἐπιστολὴ ἡ πεπληρωμένη τῶν εἰρημένων βλασφημιῶν, ἐφ'
αἷς κατηγορεῖτο Ἴβας, πολλὰς κατὰ τοῦ ἐν ἁγίοις Κυρίλλου

2. δὲ om. P. 8. περιεχομένας (ἐν) P sola. ib. οἱ τὰ] οἷα PV.
21. ἡ om. P. 22. κατηγορεῖτο m. R, κατηγορεῖται PV.

ejus capitula impia dicit, Nestorium autem et Theodorum cum impiis
eorum conscriptis collaudat et defendit. Si quis igitur, sicut dictum est, **conlaudat.**
eamdem ipsam epistolam vindicat, vel rectam esse dicit ipsam, vel par- ***sic alibi.***
tem ipsius, sed non anathematizat eam, anathema sit."

„Tali ergo impia epistola juste anathematizata propter insertas ei blasphemias, Theodori et Nestorii impiorum sequaces conantur dicere, susceptam esse eam a sancto Calchedonensi Concilio. Hoc autem dicunt, sanctam quidem Calchedonensem Synodum calumniantes, nomine autem ejus festinantes debita condemnatione liberare Theodorum, et Nestorium, et impiam epistolam, pro qua Ibas saepius accusatus, non est ausus eam suam dicere propter insertas ei blasphemias. Et haec demonstrabimus ex his, quae diverse de ista causa mota sunt. In his enim quae apud Photium et Eustathium Tyri acta sunt, cum accusaretur praedictus Ibas de injuriis Sancti Cyrilli, manifeste confessus est, post unitatem orientalium, quae ad sanctae memoriae Cyrillum facta est, nihil injuriosum de eo dixisse. Epistola autem plena praedictis blasphemiis, pro quibus accusabatur Ibas, multas contra Sanctum Cyrillum injurias continens, facta

ὕβρεις περιέχουσα παρίστησιν ὅτι μετὰ τὴν ἕνωσιν τὴν πρὸς τοὺς ἀνατολικοὺς γέγονεν· ἐξ οὗ δείκνυται Ἴβας ταύτην ἀπαρνησάμενος. ὅθεν οἱ μνημονευθέντες Φώτιος καὶ Εὐστάθιος διὰ τὴν τῶν ἐγκαλούντων πληροφορίαν ἐγγράφως διετύπωσαν τὸν εἰρημένον Ἴβαν πάντα τὰ ἐναντία τῇ ἐπιστολῇ πρᾶξαι, καθὼς ἡ περὶ τούτου δοθεῖσα παρ' αὐτῶν ἐπίκρισις δείκνυσιν. ἀλλὰ μὴ πληρώ-
P 363 σας Ἴβας τὰ παρ' ἐκείνων ἐπικριθέντα ἐξεβλήθη τῆς ἐπισκοπῆς διὰ τὰς βλασφημίας τῆς εἰρημένης ἐπιστολῆς, καὶ Νόννος ἀντ' αὐτοῦ ἐχειροτονήθη, ὃς καὶ συνεκαθέσθη τῇ ἁγίᾳ ἐν Χαλκηδόνι συνόδῳ.

Περὶ τῶν αὐτῶν τοίνυν καὶ ἐν Χαλκηδόνι κατηγορηθεὶς ὁ μνημονευθεὶς Ἴβας μετὰ τὴν ἀνάγνωσιν τῆς ἀσεβοῦς ἐπιστολῆς οὐκ ἐτόλμησε ταύτην οἰκειώσασθαι, ἀλλ' εὐθὺς αὐταῖς λέξεσιν ἐπήγαγεν ὅτι Ἀλλότριός εἰμι τῶν ἐπαγομένων μοι. ὅθεν ἡ ἁγία σύνοδος, μὴ ἀρκεσθεῖσα τῇ ἀρνήσει Ἴβα τῇ ἐπὶ τῇ ἀσεβεῖ ἐπιστολῇ, συνώθησεν αὐτὸν τἀναντία ταύτῃ πρᾶξαι. τουτέστιν τὴν ἐν αὐ-
B τῇ ἀθετουμένην ὀρθὴν πίστιν ὁμολογῆσαι καὶ τὴν ἐν Ἐφέσῳ πρώτην ἁγίαν σύνοδον δέξασθαι καὶ τὸν ἐν ἁγίοις Κύριλλον πατέρα καὶ διδάσκαλον ἐπιγράψασθαι τὰ ἐν τῇ αὐτῇ ἀσεβεῖ ἐπιστολῇ ὑβριζόμενα καὶ Νεστόριον καὶ τὸ ἀσεβὲς αὐτοῦ δόγμα ἀναθεματίσαι, ὅπερ ἡ ἀσεβὴς ἐπιστολὴ ἐπαινεῖ καὶ ἐκδικεῖ.

Εἰ τοίνυν καὶ αὐτὸς Ἴβας διαφόρως κατηγορηθεὶς περὶ τῆς ἀσεβοῦς ἐπιστολῆς οὐκ ἐτόλμησεν αὐτὴν οἰκειώσασθαι, ἀλλὰ

8. καὶ de meo addidi. 21. ὅπερ m. R, ἅπερ PV.

esse ostenditur post unitatem ad orientales factam, ex quo demonstratur Ibas eam abnegasse. Unde praedicti Photius et Eustathius satisfacientes accusatoribus, in scriptis definierunt, praedictum Ibam omnia contraria epistolae peragere, sicut judicium ab eis de hoc datum significat. Sed cum Ibas non adimplesset ea quae illi judicaverunt, ejectus est ab
et Delent Cod. et Leuncl. Episcopatu propter blasphemias praedictae epistolae, et Nonnus pro illo ordinatus est, qui et consedit in sancto Calchedonensi Concilio."

„De eisdem igitur etiam Calchedone accusatus memoratus Ibas, post lectionem impiae epistolae non est ausus eam suam esse confiteri, sed statim ipsis verbis intulit, alienum se esse eorum quae ei inferebantur. Unde sancta Synodus, cum ei non sufficeret abnegatio Ibae, quae facta est de impia epistola, compulit eum contraria ei peragere, id est, reprobatam in ea rectam fidem confiteri, et Ephesinam primam sanctam Synodum suscipere, et Sanctum Cyrillum Patrem et Doctorem adscribere, quae in eadem impia epistola injuriantur, et Nestorium, impiumque ejus
et Del. Cod. et Leuncl. dogma anathematizare, quae et impia epistola defendit et collaudat."

„Si igitur et ipse Ibas propter impiam epistolam saepius accusatus, non est ausus eam suam dicere, sed etiam Calchedonense sanctum Con-

καὶ ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος πάντα τὰ ἐναντία ταύτης παρεσκεύασεν αὐτὸν πρᾶξαι, (R 394) πῶς εἶχεν ἡ αὐτὴ ἁγία σύνοδος τὴν εἰρημένην ἐπιστολὴν δέξασθαι καὶ τῷ κρίματι τῆς περιεχομένης αὐτῇ ἀσεβείας ὑποπεσεῖν, ἀφ᾽ ἧς Ἴβαν ἐλευθερῶσαι ἐσπούδασεν; C

Ἐπειδὴ δὲ πάσας ὑπερβαίνοντες τὰς περιεχομένας τῇ ἐπιστολῇ βλασφημίας οἱ αἱρετικοὶ τοῦτο μόνον ἐξ αὐτῆς προφέρουσι τὸ πρὸς ἀπάτην τῶν ἁπλουστέρων παρὰ τοῦ τὴν ἐπιστολὴν γράψαντος εἰρημένον, τοῦτ᾽ ἔστιν δύο φύσεις, μίαν δύναμιν, ἓν πρόσωπον, ἀποδείξομεν αὐτὸν καὶ ἐν τούτῳ τὴν ἰδίαν ἀσέβειαν παραμιγνύντα. τίνος γὰρ ἂν καὶ λέγοι δύο φύσεις καὶ ἓν πρόσωπον ὁ ἀπαρνούμενος τὸν θεὸν λόγον σαρκωθῆναι ἐκ τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τεχθῆναι ἐξ αὐτῆς; ἀλλὰ πρόδηλον ὡς ἑκάστῃ φύσει ἴδιον πρόσωπον ἀπονέμει, καθὼς Θεόδωρος καὶ Νεστόριος ἐν τοῖς οἰκείοις λόγοις βλασφη- D μοῦντες ἐξέθεντο· οὓς καὶ ἐκδικεῖ ὁ γράψας τὴν ἐπιστολὴν μετὰ τῆς αὐτῶν ἀσεβείας. ἐκεῖνοι γὰρ φανερῶς λέγουσι δύο πρόσωπα τοῦ θεοῦ λόγου καὶ τοῦ Χριστοῦ, ὃν ψιλὸν ἄνθρωπον ἀποκαλοῦσι κατὰ σχετικὴν συνάφειαν, καὶ τὴν αὐτὴν ἀξίαν τε καὶ τιμὴν ἓν πρόσωπον ἀναφαίνεσθαι λέγουσιν. ἀλλὰ καὶ τῶν δύο φύσεων μίαν δύναμιν ἤτοι δυναστείαν λέγων ὁ γράψας τὴν ἐπιστολὴν φανερός ἐστιν ὡς καὶ ἐν τούτῳ ἀκολουθεῖ τοῖς εἰρημένοις αἱ- V 290 ρετικοῖς, Θεοδώρῳ μὲν λέγοντι ἐν τοῖς περὶ ἐνανθρωπήσεως

2. ἁγία] ἡ ἁγία P sola. 10. λέγει PV. 13. ἀλλὰ πρόδηλον om. P.
15. οὓς δὲ καὶ P. 19. ἀναφέρεσθαι P, ἀναφαίνεσθαι V, m. R.
21. φανερῶς PV. 22. ἀνθρωπήσεως P.

cilium omnia ei contraria compulit eum peragere: quomodo eadem sancta synodus memoratam epistolam susciperet, et condemnationi impietatis quae in ea continetur, sese subjiceret, a qua Ibam liberare festinavit?"

„Quoniam autem omnes blasphemias epistolae praetermittentes haeretici, hoc solum ex ipsa proferunt, quod ad decipiendos simpliciores scriptor epistolae dixit, hoc est, duas naturas, unam virtutem, unam personam; demonstrabimus quod ipse etiam in hoc suam commiscuit impietatem. Cujus enim *diceret duas naturas et unam personam, qui abnegat ipsum Deum Verbum incarnatum de sancta et gloriosa Dei Genitrice et semper Virgine Maria, et natum esse ex ipsa? Sed certum est, quod unicuique naturae suam personam attribuit, sicut Theodorus et Nestorius in suis libris blasphemantes exposuerunt, quos defendit scriptor epistolae cum eorum impietate. Illi enim aperte dicentes duas personas Dei Verbi, et Christi, quem purum hominem vocant, per affectualem conjunctionem, et per eamdem dignitatem et honorem unam personam apparere dicunt: sed et duarum naturarum unam virtutem sive potentiam dicens scriptor epistolae, manifestus est quod et in hoc memoratos haereticos sequitur, Theodorum quidem dicentem in diversis libris de Incarnatione impie ex-

demonstramus ipsum quod et Leuncl.
quod ipsum et demonstramus in.
*dicit. ita et Leuncl.

P 864 αὐτοῦ διαφόροις λόγοις ἀσεβῶς ἐκτεθεῖσιν, Νεστορίῳ δὲ ἐν πολλοῖς συγγράμμασι, μάλιστα δὲ ἐν τῇ ἐπιστολῇ τῇ γραφείσῃ πρὸς Ἀλέξανδρον τὸν αἱρετικὸν Ἱεραπολίτην, ὅτι τῶν δύο φύσεων μία ἐστὶν αὐθεντία καὶ μία δύναμις ἤτοι δυναστεία καὶ ἓν πρόσωπον κατὰ μίαν ἀξίαν καὶ τὴν αὐτὴν τιμήν. ἀφ᾽ ὧν ἀποδείκνυται ὁ τὴν ἐπιστολὴν γράψας κατὰ τὴν ἐκείνων κακοδοξίαν ἀντὶ προσώπων τῇ τῶν φύσεων προσηγορίᾳ χρησάμενος. μία γὰρ αὐθεντία καὶ μία δύναμις ἤτοι δυναστεία καὶ μία ἀξία καὶ ἡ αὐτὴ τιμὴ οὐκ ἐπὶ διαφόρων φύσεων, ἀλλ᾽ ἐπὶ διαφόρων προσώπων καὶ
B τῆς αὐτῆς οὐσίας λέγεται, ὅπερ ἐπὶ τῆς ἁγίας τριάδος ὁμολογοῦ-
R 886 μεν. ὅθεν καὶ οἱ ἅγιοι πατέρες ἀνεθεμάτισαν τοὺς κατ᾽ αὐθεντίαν ἢ δύναμιν ἤτοι δυναστείαν ἢ ἀξίαν ἢ ἰσοτίμως λέγοντας τὸν θεὸν λόγον τῷ Χριστῷ ἡνῶσθαι, ὃν ψιλὸν ἄνθρωπον οἱ ἀπὸ Θεοδώρου καὶ Νεστορίου καλοῦσιν, ἀλλ᾽ οὐχὶ καθ᾽ ὑπόστασιν τὴν τοῦ λόγου πρὸς τὴν σάρκα, ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ, τὴν ἕνωσιν γεγενῆσθαι ὁμολογοῦντας.

Καὶ ἤρκει μὲν ταῦτα πρὸς τὸ διελέγξαι τὴν ἀσέβειαν τῶν ἐκδικούντων τὴν μυσαρὰν ἐκείνην ἐπιστολήν. πλὴν ὅμως καὶ πρὸς τῷ τέλει τῆς αὐτῆς ἐπιστολῆς ὁ ταύτην γράψας τὴν ἰδίαν
C δείκνυσι κακοδοξίαν, λέγων ὅτι δεῖ πιστεύειν εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῷ ναῷ· ἐν οἷς φανερῶς δύο εἰσάγει

3. αἱρετικὸν καὶ Ἱεραπολίτην P. 11. ἀναθεμάτισαν P. 15. ἐμψυχομένην P. 16. ἕνωσιν] γένεσιν V. 19. αὐτῆς ἐπιστολῆς] ἐπιστολῆς αὐτῆς P. 21. οἰκοῦντα P.

positis, Nestorium autem in multis quidem scriptis, et maxime in epistola scripta ad Alexandrum Hierapolitanum haereticum, quod duarum naturarum una est auctoritas, et una virtus, sive potentia, et una persona per dignitatem eumdemque honorem: ex quo ostenditur, qui scripsit epistolam, secundum illorum perfidiam pro personis usus vocabulo naturarum. Una enim auctoritas, et una virtus sive potentia, et una dignitas et idem honor, non in diversis naturis, sed in diversis personis ejusdem substantiae dicitur, quod in sancta Trinitate confitemur. Unde et sancti Patres anathematizaverunt eos, qui per auctoritatem, aut virtutem, sive potentiam, aut dignitatem, aut aequalitatem honoris, dicunt Deum Verbum unitum esse Christo; quem purum hominem vocant Theodori et Nestorii sequaces, sed non secundum subsistentiam Dei Verbi ad carnem rationabili, animatam anima rationali et intellectuali, unitatem factam esse confitentur."

„Et haec quidem sufficiebant ad convincendam impietatem eorum, qui sceleratam epistolam vindicant. Tamen et in fine scriptor ejusdem epistolae ostendit suam perfidiam, dicendo quod oportet credere in Templum, et in eum qui habitat in Templo: per quae aperte duas introdu-

πρόσωπα. ἀλλὰ καὶ ταύτην τὴν ἀσέβειαν ὁ γράψας τὴν ἐπιστολὴν παρὰ Θεοδώρου καὶ Νεστορίου ἐδιδάχθη. ἡ μέντοι καθολικὴ ἐκκλησία τὴν τοιαύτην κακοδοξίαν κατακρίνουσα οὐχὶ εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῷ ναῷ, ἀλλ' εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα ὁμολογεῖν καὶ πιστεύειν παραδίδωσιν. οὐδὲν δὲ θαυμαστὸν εἰ τῇ τῶν φύσεων ὀνομασίᾳ ἐχρήσατο ὁ τὴν ἀσεβῆ ἐκείνην ἐπιστολὴν γράψας· ἔθος γὰρ τοῖς αἱρετικοῖς πρὸς ἀπάτην τῶν ἁπλουστέρων ταῖς παρὰ τῶν ὀρθοδόξων εὐσεβῶς λεγομέναις φω- D ναῖς κεχρῆσθαι καὶ τὴν εὐσεβῆ τούτων ἔννοιάν τε καὶ ἐξήγησιν πρὸς τὴν οἰκείαν μεταφέρειν ἀσέβειαν, ἐπειδὴ ἔστιν ὅτε αἱ αὐταὶ φωναὶ καλῶς μὲν ἐξηγούμεναι καὶ νοούμεναι μετὰ τῆς εὐσεβείας εἰσί, κακῶς δὲ παρὰ τῶν αἱρετικῶν ἑρμηνευόμεναι καὶ προφερόμεναι τὸ ἀσεβὲς ἔχουσιν.

Ἀμέλει Νεστόριον εἰπόντα μὲν δύο φύσεις καὶ ἓν πρόσωπον, μὴ ὁμολογοῦντα δὲ τούτων τὴν καθ' ὑπόστασιν ἕνωσιν, ἡ ἐν Ἐφέσῳ πρώτη ἁγία σύνοδος, ἧς ἐξῆρχον Καιλεστῖνος καὶ Κύριλλος οἱ ἐν ὁσίᾳ τῇ μνήμῃ, οὐ προσεδέξατο, ἀλλὰ καὶ κατεδίκα- P 365 σεν. ἡμεῖς δὲ τῇ τῶν ἁγίων πατέρων διδασκαλίᾳ διὰ πάντων ἀκολουθοῦντες, καὶ τὴν τῶν δύο φύσεων ἕνωσιν, ἐξ ὧν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, ὁ εἷς τῆς ἁγίας τριάδος, ὁ θεὸς λόγος

4. οἰκοῦντα P. 5. τοῦ om. P. 16. αὐτῶν P. 18. οὐ om. P. ib. προσεδέξαντο — κατεδίκασαν PV. 21. ὁ primum om. P.

cit personas. Sed et istam impietatem a Theodoro et Nestorio scriptor epistolae edoctus est. Catholica autem Ecclesia talem condemnans perfidiam, non in Templum, et in eum qui habitat in Templo, sed in unum Dominum nostrum Jesum Christum, Dei Verbum incarnatum et hominem factum confiteri et credere tradit. Nihil autem mirandum est, si vocabulo naturarum usus est scriptor illius impiae epistolae. Solent enim haeretici, ut simpliciores decipiant, vocibus quidem uti quae ab orthodoxis pie dicuntur, rectum autem earum intellectum et expositionem ad suam impietatem transferre, quoniam autem eaedem voces, quando bene exponuntur et intelliguntur, cum pietate sunt; quando autem male ab haereticis intelliguntur et proferuntur, impietatem habent."

confitetur. et Leuncl. deciperent. et Leuncl. quoniam est quando eaedem, etc. interpretantur et proferuntur,

„Itaque Nestorium duas quidem naturas et unam personam dicentem, non confitentem autem earum unitatem secundum subsistentiam, Ephesina prima Synodus, cujus auctores erant Caelestinus et Cyrillus sanctae memoriae, non suscepit, sed condemnavit. Nos autem sanctorum Patrum doctrinam per omnia sequentes, et unitatem duarum naturarum, ex quibus Dominus noster Jesus Christus unus sanctae Trinitatis, Deus

σαρκωθείς, συνετέθη, καὶ τὴν τούτων διαφορὰν οὐκ ἀνῃρημένην διὰ τὴν ἕνωσιν, ὡς ἀνωτέρω σαφέστερον ἀπεδείξαμεν.

R 838 Καὶ ἤρκει μὲν τὰ παρ' ἡμῶν εἰρημένα πληροφορῆσαι τοὺς μὴ βουλομένους φιλονεικεῖν· ἀλλ' ἐπειδὴ πρὸς ἀσέβειαν ἅπαξ ἐκκλίναντες καὶ ἑτέροις ἐπιχειροῦσιν, ἀναγκαίως ἡμεῖς καὶ τὰς
B τοιαύτας αὐτῶν προφάσεις ματαίας ἀποδείξομεν. φασὶ γὰρ μὴ
V 291 δεῖν ὑπὸ μέμψιν γενέσθαι τὴν ἀσεβῆ ἐπιστολὴν διὰ τὸ φέρεσθαι ἔν τισι βιβλίοις. ἀλλ' εἰ τοῦτό τις κατὰ τὴν αὐτῶν ἄνοιαν προσδέξηται, δεῖ καὶ Εὐτυχέα καὶ Νεστόριον δέχεσθαι, ἐπειδὴ πολλὰ καὶ περὶ τούτων τοῖς ἐν τῇ συνόδῳ πεπραγμένοις ἐμφέρεται· ἀλλ' οὐδεὶς τῶν εὖ φρονούντων τοῖς παρ' αὐτῶν λεγομένοις προσέξει τὸν νοῦν. τὰ γὰρ περὶ τῶν αἱρετικῶν ἐν ταῖς συνόδοις προφερόμενα καὶ μέρος τῶν ὑπομνημάτων γινόμενα οὐκ ἐπὶ τῷ ἐλευθερωθῆναι, ἀλλ' εἰς ἔλεγχον αὐτῶν καὶ ἐπὶ μείζονι κατακρίσει αὐτῶν τε καὶ τῶν τὰ ὅμοια τούτοις φρονούντων παραλαμβάνεται.

C Εἰ καὶ ὅτι τὰ τῆς ἀσεβοῦς ἐπιστολῆς φερόμενα ὑπομνήματα ἔν τισι μὲν βιβλίοις, ὡς εἴρηται, ἐντέτακται, ἐν δὲ τοῖς αὐθεντικοῖς, ἐν οἷς ὑπέγραψαν οἱ ὁσιώτατοι ἐπίσκοποι, οὐδαμῶς ηὕρηται, πλὴν κἀκείνῳ δεῖ προσέχειν τοὺς τὴν ἀλήθειαν ἐρευνῶντας, ὅτι πολλάκις τινὰ ἐν ταῖς συνόδοις παρά τινων ἐν αὐτοῖς εὑρισκομένων λέγεται ἢ κατὰ προσπάθειαν ἢ κατ' ἐναντίωσιν ἢ κατὰ

12. τοῖς PV. 16. Εἰ καὶ] Δεῖ δὲ P. 19. δεῖ] δὲ PV.

Verbum incarnatus, compositus est, et quod earum differentia non interempta est propter unitatem, in superioribus apertius demonstravimus."

„Et sufficiebant quidem quae praediximus, satisfacere eis qui nolunt contendere. Sed quoniam illi, qui semel ad impietatem declinaverunt, et alia proponere conantur, necessario nos et tales eorum occasiones vanas ostendemus. Dicunt enim non oportere vituperare impiam epistolam, eo quod in aliquantis fertur codicibus. Sed si hoc aliquis secundum eorum dementiam sufficiat, oportet et Nestorium et Eutychem suscipi, quoniam plurima et de his in gestis continentur quae apud Synodum acta sunt. Sed nemo sapiens dictis eorum animum intendet. Quae enim de haereticis proferuntur in Synodis et pars gestorum fiunt, non ad liberationem inseruntur, sed ad majorem condemnationem eorum, et qui eis similia sapiunt. Quamvis autem exemplaria impiae epistolae quae circumferuntur, in aliquibus codicibus, ut dictum est, inserta sint, tamen in authenticis in quibus sanctissimi Episcopi subscripserunt, nullatenus inveniantur."

codicibus fertur.

Quamvis, etc. *desunt in Cod. et apud Leuncl.*

„Oportet autem etiam illud attendere eos qui veritatem perscrutantur, quod forsitan in Conciliis quaedam a certis ibi convenientibus dicuntur, aut per favorem, aut per contrarietatem, aut per ignorantiam.

ἄγνοιαν. οὐδεὶς δὲ προσέχει τοῖς κατὰ μέρος παρά τινων λεγομένοις, ἀλλὰ μόνοις τοῖς κατὰ κοινὴν συναίνεσιν παρὰ πάντων ὁριζομένοις. εἰ γὰρ κατ' ἐκείνους βουληθείη τις προσέχειν ταῖς
τοιαύταις ἐναντιώσεσιν, ἑκάστη σύνοδος εὑρίσκεται ἑαυτὴν ἀνα- D
τρέπουσα.

Διὰ ταῦτα τοίνυν ἔδει αὐτούς, εἴπερ ὀρθῶς ἐδέχοντο τὴν ἁγίαν σύνοδον, μὴ τοιαύτας αὐτῇ μέμψεις περιάπτειν, ἀλλὰ ἀκολουθῆσαι τοῖς διδασκάλοις τῆς καθολικῆς ἐκκλησίας, καὶ μάλιστα τοῖς ἐν ἁγίοις Ἀθανασίῳ τῷ γενομένῳ τῆς Ἀλεξανδρέων ἐπισκόπῳ καὶ πολλοὺς καὶ μεγάλους ἀγῶνας ἀναδεξαμένῳ ὑπὲρ τῆς ὀρθῆς τῶν χριστιανῶν πίστεως κατὰ πάσης αἱρέσεως, καὶ μάλιστα τῶν ἀσεβεστάτων Ἀρειανῶν. τῶν γὰρ αὐτῶν Ἀρειανῶν πρὸς ἀπάτην τῶν λαῶν εἰς τὴν ἑαυτῶν μερίδα ἐπισπωμένων Διονύσιον, πρὸ πολλῶν ἐτῶν τοῦ ἐν ἁγίοις Ἀθανασίου τῆς Ἀλεξαν- P 366
δρέων γενόμενον ἐπίσκοπον, καὶ λεγόντων ὡς καὶ αὐτὸς Διονύσιος τὰ ὅμοια αὐτοῖς ἐφρόνησεν, Ἀθανάσιος ὁ μέγας τῆς ἐκκλη- R 840
σίας διδάσκαλος πολλοῖς τρόποις ἐγγράφως ἀπέδειξεν τὴν ὀρθὴν πίστιν Διονύσιον ἐξ ἀρχῆς κηρῦξαι καὶ μηδαμῶς ἐπικοινωνῆσαι τῇ τῶν Ἀρειανῶν ἀσεβείᾳ. οὗτοι δὲ τὰ τῶν αἱρετικῶν φρονοῦντες εἰς τὴν οἰκείαν ἀσέβειαν ταύτῃ περιάπτειν σπουδάζουσιν. ὁποῖον δέ ἐστι κατάκριμα καὶ ποία ἐπίκειται ἀρὰ τοῖς εἰς πατέρας ἁμαρτάνουσιν διδάσκει ἡμᾶς καὶ ἡ θεία γραφή. εἰ γὰρ Χὰμ ὁ

11. ὀρθῆς om. P. 18. κηρύξας P. 19. τὰ om. P. 20. ἀσέβειαν om. P. 22. καὶ om. P.

Nemo autem attendit ea quae per partem a quibusdam dicuntur: sed sola illa, quae ab omnibus communi consensu definiuntur. Si enim aliquis secundum illos voluerit attendere ejusmodi contrarietates, unaquaeque Synodus invenietur semetipsam destruens."

„Propter haec igitur oportebat eos, si sanctum Concilium recte susciperent, non tales blasphemias ei applicare, sed sequi Doctores Catholicae Ecclesiae, et maxime sanctum Athanasium, qui fuit Alexandriae Episcopus, et plurimos et magnos labores suscepit pro recta Christianorum fide adversus omnem haeresin, et maxime contra impiissimos Arianos. Ipsis enim Arianis ad decipiendos populos suo errori conjungentibus Dionysium, qui ante multos annos Athanasii fuit Alexandriae Episcopus, et dicentibus quod et ipse Dionysius similia eis sapuit, Athanasius magnus Ecclesiae Doctor multis modis ostendit in scriptis, rectam fidem Dionysium ab initio praedicasse, nulloque modo participem Arianae impietatis fuisse. Isti autem haeretica sapientes, suam impietatem eidem Synodo applicare festinant. Qualis autem est condemnatio, et qualis imminet maledictio eis qui in patres peccant, docet nos et divina Scriptura. Si enim Cham filius Noe cum vidisset nudum suum patrem, quo-

υἱὸς τοῦ Νῶε θεασάμενος γυμνὸν τὸν ἴδιον πατέρα, καὶ μὴ καλύ-
B ψας τὴν τοῦ πατρὸς σωματικὴν γύμνωσιν, ἐξελθὼν ἀπήγγειλε
ταύτην τοῖς ἀδελφοῖς, καὶ ἐκεῖνοι ἱματίῳ ταύτην περιεσκέπασαν,
αὐτὸς δὲ Χὰμ καὶ οἱ ἐξ αὐτοῦ γεννηθέντες ὑπὸ κατάραν γεγόνα-
σιν, οἱ δὲ σκεπάσαντες εὐλογίας μεγάλης ἠξιώθησαν, πολλῷ
μᾶλλον οὗτοι μείζονος καὶ ἔτι πλείονος κατακρίσεώς εἰσιν ἄξιοι
οἱ τὴν μηδαμῶς προσοῦσαν ἀτιμίαν τῇ συνόδῳ σπουδάζοντες διὰ
τῆς ἀσεβείας τῆς ἐπιστολῆς καὶ Θεοδώρου περιάπτειν αὐτῇ. ἀλλ'
οὐ διὰ τοῦτο ἡ ἀσεβὴς ἐπιστολὴ ἢ οἱ ταύτης ἀντιποιούμενοι ἐκ-
φεύξονται τὴν ἐπὶ τῇ αὐτῶν ἀσεβείᾳ κατάκρισιν, ἀλλ' οὐδὲ Θεό-
C V 292 δωρος ὁ Ἕλληνάς τε καὶ Ἰουδαίους καὶ πάντας αἱρετικοὺς τῇ ἀσε-
βείᾳ ὑπερβαλόμενος. οὗτος γὰρ πρὸς ταῖς ἄλλαις αὐτοῦ βλασφη-
μίαις οὐκ ἠρκέσθη τῷ πρὸς τὴν ἰδίαν πλάνην παρερμηνεῦσαι
τὸ σύμβολον τῶν τι' καὶ η' ἁγίων πατέρων, ἀλλὰ καὶ περιφρο-
νήσας τούτου ἕτερον σύμβολον ἐξέθετο πάσης ἀσεβείας πεπληρω-
μένον, ἐν ᾧ ἀναθεματίσαι τοὺς ἑτέρως φρονοῦντας ἢ παραδιδόν-
τας ἐτόλμησεν, ὥστε ὅσον κατὰ τὴν ἐκείνου μανίαν πάντας τοὺς
ἁγίους ἀποστόλους καὶ πατέρας καταχεκρίσθαι. τοῦτο δὲ τὸ ἀσε-
βὲς Θεοδώρου σύμβολον καὶ ἐν τῇ κατ' Ἔφεσον πρώτῃ συνόδῳ
D προκομισθὲν καὶ ἐν Χαλκηδόνι ἀναγνωσθὲν ὑφ' ἑκατέρας συνό-
δου μετὰ τοῦ ἐκθεμένου καὶ τῶν δεξαμένων αὐτὸ κατεκρίθη.
ἐπειδὴ δέ τινες τὸν ὑπὲρ Θεοδώρου λόγον ποιούμενοι, προφερο-

2. ἐπήγγειλε P. 9. αὐτῆς P. 12. ὑπερβαλλόμενος PV. 14. τὸ om. P. 16. ἢ παραδιδόντας om. P. 17. ἐκείνων V. 22. ποιούμενοι λόγον P.

niam non cooperuit patris corporalem nuditatem, sed egressus nuntiavit eam fratribus, et illi vestimento eam cooperuerunt, ipse quidem Cham, et illi qui ex ipso nati sunt, sub maledictione facti sunt; qui autem cooperuerunt, magnam benedictionem meruerunt: multo magis isti majore et ampliore condemnatione digni sunt, qui ad Synodum minime pertinentem infamiam, festinant per impietatem epistolae, et Theodori, eidem sanctae Synodo applicare. Sed non ideo impia epistola, vel defendentes eam, condemnationem suae impietatis effugient: sed neque Theodorus, qui Paganos et Judaeos, et omnes haereticos impietate superat. Impio enim Theodoro non suffecit super alias ejus blasphemias ad suum errorem male interpretari Symbolum trecentorum decem et octo sanctorum Patrum: sed etiam contempto eo, aliud Symbolum exposuit omni impietate plenum, in quo anathematizare ausus est eos, qui aliter sapiunt vel tradunt, ut quantum ad illius insaniam pertinet, omnes Sancti Apostoli et Patres condemnarentur. Hoc autem Theodori impium symbolum et in Ephesina prima Synodo prolatum, et in Calchedonensi recitatum, ab utraque Synodo cum ejus expositore, et eis qui illud suscipiunt, condemnatum est. Quoniam autem quidam, verba pro Theodoro facientes,

μένων τῶν ἀσεβῶν αὐτοῦ συγγραμμάτων, διὰ τὴν ἐνοῦσαν αὐτοῖς βλασφημίαν προσποιοῦνται μὲν λέγειν ὅτι ἀσεβῆ ταῦτα τυγχάνει, αὐτὸν δὲ τὸν τὴν τοιαύτην ἀσέβειαν ἐξεμέσαντα παραιτοῦνται ἀναθεματίζειν, θαυμάζομεν τὴν τούτων ἄνοιαν, ὅτι
τῇ θείᾳ τολμῶσιν ἐναντιοῦσθαι γραφῇ, φανερῶς λεγούσῃ ὅτι ἐν R 842
ἴσῳ μισητὰ θεῷ καὶ ὁ ἀσεβῶν καὶ ἡ ἀσέβεια αὐτοῦ· καὶ γὰρ τὸ
πραχθὲν σὺν τῷ δράσαντι κολασθήσεται. εἰ δὲ ὁμοίως τῇ αὐ- P 367
τοῦ ἀσεβείᾳ μισητὸς θεῷ καὶ ὁ ἀσεβῶν, πρόδηλον ὡς ὁ τοιοῦτος κεχώρισται τοῦ θεοῦ καὶ τῷ ἀναθέματι δικαίως ὑποβάλλεται. τὸ γὰρ ἀνάθεμα οὐδὲν ἕτερον σημαίνει ἢ τὸν ἀπὸ τοῦ θεοῦ χωρισμόν, ὡς ἐν τῇ παλαιᾷ καὶ τῇ καινῇ διαθήκῃ τὸ περὶ τοῦ ἀναθέματος κρῖμα δηλοῖ. ὅτι δὲ καὶ κύριος τοὺς μὴ μένοντας ἐν τῷ τῆς ἀληθείας αὐτοῦ λόγῳ κεχωρισμένους εἶναι λέγει τῆς ἐκκλησίας, ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ πρὸς τοὺς Ἰουδαίους διαλεγόμενος οὕτω φησί, Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς
ἁμαρτίας. ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ δὲ B
υἱὸς μένει εἰς τὸν αἰῶνα. ὅτι δὲ τὴν παρὰ τοῦ κυρίου ὠνομασμένην οἰκίαν ἡ θεία γραφὴ ἐκκλησίαν θεοῦ ζῶντος καλεῖ ὁ ἀπόστολος μαρτυρεῖ ἐν τῇ πρὸς Τιμόθεον πρώτῃ ἐπιστολῇ. εἰ δὲ λέγουσί τινες μὴ δεῖν Θεόδωρον μετὰ θάνατον ἀναθεματίζεσθαι, ἴστωσαν οἱ τὸν τοιοῦτον αἱρετικὸν ἐκδικοῦντες ὡς πᾶς αἱρετικὸς μέχρι τέλους τῇ οἰκείᾳ πλάνῃ ἐμμείνας δικαιότερον διηνεκεῖ ἀνα-

3. τὴν αὐτὴν P. 12. δῆλον R. 14. εὐαγγελίῳ] VIII. 34. 16. ὁ δὲ — αἰῶνα om. P. 19. πρώτῃ] 15. ib. λέγωσι RV.

cum proferuntur impia ejus conscripta, propter insertam eis blasphemiam confingunt quidem dicere quod impia sunt, ipsum autem qui talem impietatem evomuit, recusant anathematizare: miramur eorum dementiam, quod divinae Scripturae contraria agunt, evidenter dicenti, quia *aequaliter horribilia sunt apud Deum impius et impietas ejus.* Actio enim cum
auctore punietur: Si autem similiter impietati horribilis est Deo et ille actore
qui impie agit, certe separatus est talis a Deo, et anathemati juste subjicitur. Anathema enim nihil aliud significat, nisi a Deo separationem, sicut in veteri et novo Testamento judicium de anathemate significat. Quod autem et Dominus eos qui non permanent in Verbo veritatis ipsius, separatos esse ab Ecclesia dicit, in Evangelio secundum Joannem, Judaeos alloquens, sic ait: *Omnis qui facit peccatum, servus est peccati. Servus autem non manet in domo in aeternum: filius autem permanet in aeternum.* Quod autem, quam Dominus nominat domum, divina Scriptura Ecclesiam Dei vivi vocat, Apostolus testatur in epistola prima ad Timotheum. Si vero quidam dicunt, non oportere Theodorum post mortem anathematizari, sciant qui talem haereticum defendunt, quod omnis haereticus usque ad finem vitae in suo errore permanens, juste perpetuo

θεματισμῷ καὶ μετὰ θάνατον ὑποβάλλεται, καὶ τοῦτο ἐπὶ πολ-
λοῖς γέγονεν αἱρετικοῖς ἀρχαιοτέροις τε καὶ τοῖς ἐγγυτέρω, τουτέ-
στιν Βαλεντίνῳ, Βασιλείδῃ, Μαρκίωνι, Κηρίνθῳ, Μανιχαίῳ,
C Εὐνομίῳ καὶ Βονόσῳ. τοῦτο δὲ αὐτὸ καὶ ἐπὶ Θεοδώρου γέγονεν,
καὶ ἐν ζωῇ κατηγορηθέντι καὶ μετὰ θάνατον ἀναθεματισθέντι
ὑπὸ τῶν ἁγίων πατέρων, οἷς εἰ μὴ βούλονται πείθεσθαι ὡς αἱ-
ρετικοὶ οἱ τούτου ἀντιποιούμενοι, τῇ γοῦν παρ' αὐτῶν ἐκδικου-
μένῃ ἀσεβεῖ ἐπιστολῇ πιστευσάτωσαν, ἥτις εἰ καὶ τὰ μάλιστα
Θεόδωρον ἐκδικεῖ, ὅμως φανερῶς λέγει ὅτι καὶ ἐπ' ἐκκλησίας
παρὰ ἁγίων πατέρων ἀνεθεματίσθη· καὶ ἐξ ἐκείνου πολλὴ ζήτη-
σις γέγονεν περὶ τῶν αὐτοῦ συγγραμμάτων, ὡς ἀσεβείας δηλον-
ότι πεπληρωμένων. τοῦτο δὲ ἐποίουν τηνικαῦτα οἱ τῆς καθολι-
κῆς ἐκκλησίας διδάσκαλοι, ἐφ' ᾧ μὴ τοὺς ἁπλουστέρους τυγχά-
D νοντας τοῖς ἐκείνου ἀσεβέσι συγγράμμασι τῆς ὀρθῆς παρατρέπε-
V 293 σθαι πίστεως. ὅτι δὲ οἱ ἀσεβεῖς εἰ καὶ μὴ τὸν κατὰ πρόσωπον
ἐν ζωῇ δέξονται ἀναθεματισμόν, ὅμως καὶ μετὰ θάνατον ἀναθε-
ματίζονται ὑπὸ τῆς καθολικῆς ἐκκλησίας δείκνυται ἐκ τῶν ἁγίων
R 844 συνόδων. ἡ μὲν γὰρ ἐν Νικαίᾳ τοὺς τὸ ἀσεβὲς Ἀρείου φρόνημα
πρεσβεύοντας ἀνωνύμως ἀνεθεμάτισεν, ἡ δὲ ἐν Κωνσταντινου-
πόλει τὴν Μακεδονίου ἀσεβεστάτην αἵρεσιν· ἀλλ' ὅμως ἡ ἁγία
τοῦ θεοῦ ἐκκλησία καὶ μετὰ θάνατον Ἄρειον καὶ Μακεδόνιον ὀνο-
μαστὶ ἀναθεματίζει. ἐκ πολλῶν δὲ τῶν ἀποδείξεων ἐλεγχόμενοι

3. Οὐαλεντίνῳ P. ib. Βασιλίδῃ PV. 6. οἷς om. V. 10. ἀνεθεμ. P. 13. διδάσκαλοι om. V. 14. τῆς P. 15. οἱ om. P.

anathemati et post mortem subjicitur. Et hoc in multis haereticis et antiquioribus et propioribus factum est, id est, Valentino, Basilide, Marcione, Cerintho, Manichaeo, Eunomio, et Bonoso. Hoc autem idem et in Theodoro factum est, et in vita accusato, et post mortem anathematizato a sanctis Patribus, quibus si credere noluerint ut haeretici ejus defensores, vel impiae epistolae, quam ipsi defendunt, credant: quae licet Theodorum collaudet, manifeste tamen dicit, quod in Ecclesia a sanctis Patribus anathematizatus est, et ex illo plurima inquisitio facta est de ejus conscriptis, utpote plenis impietate. Hoc autem tunc faciebant Catholicae Ecclesiae Doctores, ne simpliciores legentes illius impia conscripta, a recta fide declinarent. Quod autem impii, licet non in vita in suam personam anathema susceperint, tamen et post mortem anathematizentur a Catholica Ecclesia, ostenditur a sanctis Synodis. Nicaena enim Synodus eos qui impii Arii sectam colunt, sine nomine anathematizavit. Quae autem Constantinopoli congregata est, impiam Macedonii haeresim
anathematizavit similiter condemnavit: sed tamen sancta Dei Ecclesia et post mortem Arium et Macedonium nominatim anathematizat. Cum autem ex multis

ὡς ἀσεβοῦσι διακενῆς οἱ Θεοδώρου καὶ τῆς ἀσεβείας αὐτοῦ ἀντιποιούμενοι, ἐφ' ἑτέραν ματαίαν πρόφασιν καταφεύγουσι, λέ- P 368 γοντες μὴ δεῖν αὐτὸν ἀναθεματισθῆναι διὰ τὸ ἐν τῇ κοινωνίᾳ τῶν ἐκκλησιῶν τετελευτηκέναι. ἔδει δὲ αὐτοὺς εἰδέναι ὡς ἐκεῖνοι τελευτῶσιν ἐν τῇ κοινωνίᾳ τῶν ἐκκλησιῶν οἱ τὸ κοινὸν τῆς εὐσεβείας δόγμα τὸ ἐπὶ τῆς καθολικῆς κηρυττόμενον ἐκκλησίας μέχρι τέλους φυλάξαντες. οὗτος δὲ τῇ οἰκείᾳ ἐντελευτήσας ἀσεβείᾳ ἀπὸ πάσης ἐκκλησίας ἐξεβλήθη. ἀμέλει τοι καὶ πᾶν τὸ πλήρωμα τῆς ἐν Μομψουεστίᾳ ἐκκλησίας, ἐν ᾗ λέγεται ἐπίσκοπος γεγενῆσθαι, διὰ τὰς βλασφημίας, δι' ἅςπερ Ἕλλησί τε καὶ Ἰουδαίοις καὶ Σοδομίταις παρὰ τῶν ἁγίων πατέρων συνηριθμήθη, ἀπή- B λειψαν ἐξ ἐκείνου τῶν ἱερῶν τῆς ἐκκλησίας διπτύχων τὴν τούτου προσηγορίαν, ὡς τὰ περὶ τούτου συστάντα κατὰ τὴν αὐτὴν πόλιν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας ὑπομνήματα δείκνυσιν.

Θαυμάζομεν τοίνυν τοὺς ἐκδικοῦντας Θεόδωρον οἰκειουμένους αὐτόν τε καὶ τὴν αὐτοῦ ἀσέβειαν, ὅπου γε ἡ ἐκκλησία ἐν ᾗ γέγονεν ἐπίσκοπος ὡς αἱρετικὸν ἐκ πολλῶν τῶν χρόνων αὐτὸν ἀπεβάλετο. ὅτι δὲ ἐπὶ κατακρίσει οἰκείᾳ τὴν τοιαύτην προβάλλονται πρόφασιν οἱ Θεόδωρον ἐκδικοῦντες ἔξεστι γνῶναι καὶ ἐξ αὐτοῦ τοῦ ἐπὶ Ἰούδα γενομένου φοβεροῦ κρίματος. ἐκεῖνος γὰρ νομίσας λανθάνειν τὸν τὰ κρυπτὰ τῶν ἀνθρώπων γινώσκοντα C

1. διακενῶς P. 9. Μοψου. P. 11. ἀπείλειψαν P. 18. ἀπεβάλλετο PV. 20. περὶ P.

probationibus convincuntur, quod supervacue et impie agunt qui Theodorum et impietatem ejus defendunt, ad aliam vanam occasionem confugiunt, dicentes non oportere eum anathematizari eo quod in communicatione Ecclesiarum mortuus est. Oportebat autem scire eos, quod illi moriuntur in communicatione Ecclesiarum, qui commune pietatis dogma, quod in universali Ecclesia praedicatur, usque ad finem servaverunt. Iste autem usque ad mortem in sua permanens impietate, ab omni Ecclesia ejectus est. Itaque et omnis plenitudo Mopsuestenae Ecclesiae, in qua Episcopus dicitur fuisse, cum invenisset quod Paganis et Judaeis et Sodomitanis a sanctis Patribus connumeratus est, deleverunt ipsi ex illo a sacris Ecclesiae Diptychis ejus nomen, sicut gesta de hoc in eadem civitate apud Concilium Episcoporum illius Provinciae confecta ostendunt."

„Miramur igitur Theodori sequaces, qui eum et impietatem ejus tamquam suam defendunt, cum Ecclesia, in qua fuit Episcopus, utpote haereticum ex multis temporibus eum ejecerit. Quod autem ad condem- ejecit. *ita Leuncl.* nationem suam talem occasionem proponunt defensores Theodori, scire licet et ex ipso adversus Judam facto tremendo judicio. Ille enim cum putasset latere eum qui occulta hominum cognoscit, sacramentis communicavit cum Apostolis: sed tamen nihil ei profuit quod cum dolo commu-

ἐκοινώνησε τῶν μυστηρίων τοῖς ἀποστόλοις. ἀλλ᾽ ὅμως οὐδὲν
αὐτὸν ὤνησεν καὶ ἡ μετὰ ὑποκρίσεως κοινωνία, ἀλλ᾽ οὐδὲ τὸ καὶ
μετὰ θάνατον αὐτοῦ δώδεκα ὀνομασθῆναι τοὺς μαθητάς, ὥς
φησιν Ἰωάννης ὁ εὐαγγελιστὴς λέγων, Θωμᾶς δὲ ὁ λεγόμενος δί-
δυμος, εἷς τῶν ιβ', οὐκ ἦν μετ᾽ αὐτῶν, ὅτε ἦλθεν ὁ Ἰησοῦς,
ἢ ἐξαιρεῖ τὸν Ἰούδαν τῆς κατακρίσεως ἢ συναριθμεῖσθαι ποιεῖ
R 846 τοῖς ἀποστόλοις. ἀμέλει τοι μετὰ τὴν τοῦ κυρίου ἀνάληψιν οἱ
ἀπόστολοι δι᾽ οἰκείας ψήφου τὸν αὐτὸν Ἰούδαν καὶ μετὰ θάνατον
D κατεδίκασαν, καὶ ἕτερον ἀντεισήγαγον. ὅτι δὲ ματαίαν πρόφασιν
προβάλλονται λέγοντες μὴ δεῖν τοὺς τελευτῶντας αἱρετικοὺς ἀνα-
θεματίζεσθαι καὶ ἐξ αὐτῶν τῶν τοῦ κυρίου ῥημάτων ἀποδείξο-
μεν. τοὺς γὰρ ἀσεβεῖς καὶ ἔτι ζῶντας νεκροὺς ὀνομάζει, λέγων,
Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· ὥσπερ οὖν καὶ
τοὺς δικαίους τελευτήσαντας ζῶντας ἀποκαλεῖ· λέγει γὰρ περὶ
Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ὅτι ὁ θεὸς οὐκ ἔστι νεκρῶν ἀλλὰ
ζώντων. εἰ τοίνυν κατὰ τοὺς ἐκείνων λόγους οὐ χρὴ τοὺς αἱρετι-
κοὺς τελευτῶντας ἀναθεματίζεσθαι, οὐδὲ ζῶντες αἱρετικοὶ ἀνα-
θεματισθήσονται, οὓς ὁ κύριος νεκροὺς ἀποκαλεῖ διὰ τὸ ἀποκε-
P 869 χωρισμένους εἶναι αὐτοῦ τοῦ εἰπόντος, Ἐγώ εἰμι ἡ ζωή. καὶ κατ᾽
αὐτοὺς λοιπὸν οὔτε ζῶντες οὔτε τελευτῶντες αἱρετικοὶ ἀναθεμα-
τισθήσονται, καὶ μάτην κατ᾽ ἐκείνους ἡ ἀποστολικὴ διδασκαλία
V 294 παραδέδωκεν ἀναθεματίζεσθαι τοὺς παραδιδόντας παρ᾽ ὃ παρε-

2. ἡ et καὶ om. P. 4. Ἰωάννης] XX. 24. 9. ἀντ᾽ αὐτοῦ εἰσήγα-
γον P. 11. ἀποδείξωμεν PV. 12. λέγων] Matth. VIII. 22.
14. καλεῖ P. ib. λέγει] XXII. 32. 18. κεχωρισμένους P.
20. οὔτε alterum om. P. 22. παρελάβομεν P.

nicavit. Sed licet post mortem ejus duodecim nominati sint Discipuli,
sicut Joannes Evangelista dicit: *Thomas autem, qui Didymus dicebatur,*
venerat. sic *unus ex duodecim, non erat cum ipsis quando venit Jesus:* tamen hoc non
et Leuncl. liberat Judam a condemnatione, aut connumerari facit Apostolis. Unde
post Ascensionem Domini, Apostoli per suam sententiam eumdem Judam
etiam post mortem condemnaverunt, et alium pro illo introduxerunt.
unam Quod autem vanam occasionem proponunt, dicentes non oportere haere-
ticos mortuos anathematizari, et ex ipsis Domini verbis ostendemus. In-
* non est pios enim et adhuc vivos, mortuos nominat, dicens: *Dimitte mortuos se-*
Deus. *abestpelire mortuos suos:* sicut justos et jam defunctos, vivos nominat. Dicit
*in Cod. et a-*enim de Abraham et Isaac et Jacob, quod *Deus non est Deus mortuo-
*pud Leuncl.*rum, sed **viventium. Si ergo secundum verba illorum non oportet hae-
** vivorum. reticos mortuos anathematizari, nec ***viri haeretici anathematizabuntur,
sic et quos Dominus mortuos vocat, quia separati sunt ab ipso qui dixit: *Ego*
Leuncl. *sum vita*, et secundum eos jam nec vivi, nec mortui haeretici anathema-
*** *corrige* tizabuntur: et sine causa, secundum illos, Apostolica doctrina tradit ana-
vivi. thematizari eos, qui tradunt praeter quod accepimus: sine causa sanctae

λάβωμεν, μάτην αἱ ἅγιαι σύνοδοι τοὺς αἱρετικοὺς κατέκριναν, μάτην καὶ οἱ ἄλλοι ἅγιοι πατέρες καὶ διδάσκαλοι τῆς ἐκκλησίας τοὺς αἱρετικοὺς ἀνεθεμάτισαν. μέμψονται δὲ καὶ Ἱερεμίᾳ τῷ προφήτῃ εἰπόντι, Ἐπικατάρατος ὁ ποιῶν τὰ ἔργα κυρίου ἀμελῶς, καὶ Δαβὶδ τῷ προφήτῃ λέγοντι, Ἐπικατάρατοι οἱ ἐκκλίναντες ἀπὸ τῶν ἐντολῶν σου, καὶ συντόμως εἰπεῖν, πάσῃ τῇ θείᾳ γραφῇ, πολλαχοῦ τὰς τοιαύτας κατακρίσεις ἐπαγούσῃ τοῖς ἀσεβέσιν. B εἰ δὲ οἱ ἀμελῶς ποιοῦντες τὰ ἔργα κυρίου καὶ ἁμαρτάνοντες περὶ τὰς αὐτοῦ ἐντολὰς τοιαύταις κατακρίσεσιν ὑποβάλλονται, πόσῳ μᾶλλον Θεόδωρος ὁ ἀσεβὴς ὁ τοιαῦτα κατ' αὐτοῦ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ βλασφημήσας δικαιότερον κατακέκριται καὶ ἀναθεματίζεται; καὶ ἤρκει μὲν ταῦτα πρὸς ταῖς παρατεθείσαις ἀνωτέρω τε καὶ ἐν ἑτέροις ἡμῶν λόγοις ἀποδείξεσι περὶ τοῦ δεῖν καὶ μετὰ τελευτὴν τοὺς αἱρετικοὺς κατακρίνεσθαι καταισχύνειν τοὺς Θεοδώρου μεταποιουμένους καὶ C παύσονται τῆς τοιαύτης ἀσεβείας· διὰ δὲ τὸ ἐμφιλονείκως ταῖς R 848 αὐτοῖς ἐπιμένειν τὸ πλέον ἐροῦμεν ὅτι τινὲς τῶν συναχθέντων ἐν τῇ κατὰ Νίκαιαν ἁγίᾳ συνόδῳ καὶ ὑπογράψαντες τῷ ἐκτεθέντι παρ' αὐτῆς ὅρῳ ἤτοι συμβόλῳ τῆς πίστεως, ἐπειδὴ μετὰ ταῦτα ἐναντία φρονήσαντες ἐφάνησαν, οἱ μὲν ζῶντες, οἱ δὲ μετὰ θάνατον ἀνεθεματίσθησαν παρὰ Δαμάσου τοῦ τῆς ὁσίας μνήμης πάπα τῆς πρεσβυτέρας Ῥώμης καὶ τῆς ἐν Σαρδικῇ οἰκουμενικῆς

3. *ἀναθεμάτισαν* P. 4. *εἰπόντι*] XLVIII. 10. 5. *Δαβίδ*] CXVIII. 21. *ib.* *ἐκκλίναντες* PV. 7. *ἐπάγουσι* PV. 16. *παύσονται*] *παύσειν* Labbeus.

Synodi haereticos condemnaverunt, sine causa et alii sancti Patres et Doctores Ecclesiae haereticos anathematizaverunt. Inculpent autem et Jeremiam Prophetam dicentem: *Execrandus qui opera Domini facit negligenter;* et David Prophetam dicentem: *Execrandi qui declinant a mandatis tuis;* et ut compendiose dicamus, omnem divinam Scripturam in diversis locis tales condemnationes impiis inferentem. Sin autem illi qui negligenter opera Dei faciunt, et peccant in mandatis ejus, talibus condemnationibus subjiciuntur: quando magis impius Theodorus, qui talia adversus ipsum magnum Deum et Salvatorem nostrum Jesum Christum blasphemavit, juste condemnatus est et anathematizatus? Et haec quidem sufficiebant, super memoratas et* aliis nostris libris insertas probationes, quas protulimus, ostendentes quod oportet etiam post mortem haereticos condemnari, confundere eos qui Theodorum defendunt, et compescere a tali impietate. Quoniam autem contentiose in iisdem permanent, etiam quod est amplius, dicimus quia quidam ex ipsis qui in Nicaeam sancta Synodo convenerunt, et expositae ab ea fidei definitioni vel Symbolo subscripserunt, quoniam postea contraria sapientes apparuerunt, alii quidem vivi, alii autem post mortem anathematizati sunt a Damaso sanctae memoriae Papa antiquioris Romae, et ab universali Sardi-

anathematizatur.
* in aliis
dicemus. sic *et Lemmel.*

συνόδου, καθὰ μαρτυρεῖ ὁ ἐν ἁγίοις Ἀθανάσιος. ἀλλὰ καὶ ἡ ἐν
Χαλκηδόνι ἁγία σύνοδος Δόμνον τὸν Ἀντιοχείας γενόμενον ἐπί-
D σκοπον μετὰ θάνατον κατεδίκασεν, τολμήσαντα μόνον γράψαι
δεῖν παρασιωπηθῆναι τὰ ιβ' κεφάλαια τοῦ ἐν ἁγίοις Κυρίλλου.
ἐπειδὴ δὲ οἱ Θεοδώρου ἀντιποιούμενοι αἱρετικοὶ πάσης προτάσεως
καὶ ἐγχειρήσεως ἐκπεπτωκότες ἐπεχείρησαν λέγειν πρὸς ἀπάτην
τῶν ἀγνοούντων ὡς ὁ τῆς ὁσίας μνήμης Κύριλλος ἔν τινι μέρει
ἐπιστολῆς τοῦτον ἐπῄνεσεν, ἐκ πολλῶν ἀποδείκνυται ὅτι οὐ συμ-
βαίνει τὸ αὐτῶν ἐγχείρημα τοῖς εἰρημένοις παρὰ τοῦ ἐν ἁγίοις
Κυρίλλου ἐν διαφόροις αὐτοῦ λόγοις κατὰ τοῦ δυσσεβοῦς Θεοδώ-
ρου, ἐν οἷς ἀσεβέστερον αὐτὸν πάντων τῶν ἄλλων αἱρετικῶν ἀπο-
δείξας, εἶτα οὐκ ἐνεγκὼν τὸ πλῆθός τε καὶ μέγεθος τῶν αὐτοῦ
P 370 βλασφημιῶν τῶν εἰρημένων κατὰ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος
ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀπεφθέγξατο οὕτως εἰπών, Ἐξέστη ὁ
οὐρανὸς ἐπὶ τούτῳ καὶ ἔφριξεν ἐπὶ πλείω σφόδρα, λέγει κύριος.
ὢ τῆς ἀποῤῥήτου σκαιότητος, ὢ γλώσσης λαλούσης ἀδικίαν κατὰ
τοῦ θεοῦ καὶ τὸ κέρας αἰρούσης. καὶ πάλιν, Ἐπίθες, ἄνθρωπε,
τῇ σαυτοῦ γλώττῃ θύραν καὶ μοχλόν· παῦσαι τὸ κέρας εἰς ὕψος
ἐπαίρων καὶ λαλῶν ἀδικίαν κατὰ τοῦ θεοῦ. μέχρι τίνος ἐπιπη-
δᾷς ἀνεξικακοῦντι Χριστῷ; εἰς νοῦν ἔχε τὸ γεγραμμένον παρὰ
τοῦ θεσπεσίου Παύλου, Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελ-
B φοὺς καὶ πλήττοντες αὐτῶν ἀσθενοῦσαν τὴν συνείδησιν εἰς Χρι-

1. καταμαρτυρεῖ R. ib. ἡ om. P. 15. ἐπὶ πλείω] De formula hac semibarbara vid. annot. ad Xenoph. Hist. gr. II. 2. 16. p. 283. 21. Παύλου] I. Cor. VIII. 12. 22. τὴν om. P.

censi Synodo, prout testatur Sanctus Athanasius. Sed et Calchedonensis sancta Synodus Domnum Antiochiae factum Episcopum post mortem condemnavit, quod solum ausus est scribere, oportere taceri duodecim capitula Sancti Cyrilli. Quoniam autem Theodori defensores haeretici, omni propositione et conatu excidentes, praesumunt dicere ad deceptionem ignorantium, quod Sanctae memoriae Cyrillus in aliqua parte epistolae illum collaudavit; ex multis ostenditur, quod non convenit eorum conamen dictis a Sancto Cyrillo in diversis ejus libris contra impium Theodorum, in quibus magis impium omnibus aliis haereticis eum ostendens, deinde non sustinens plurimas et maximas ejus blasphemias contra magnum Deum et Salvatorem nostrum Jesum Christum dictas, exclamavit, ita dicens: Expavit coelum super hoc, et horruit amplius vehementer, dicit Dominus. O intolerabilem malignitatem, o linguam loquentem iniquitatem contra Deum, et in altitudinem cornu extollentem. Et iterum: Impone homo tuae linguae ostium et seram: cessa cornu in altitudinem extollens, et loquens iniquitatem adversus Deum. Quousque insultas patienti Christo? In mente habe scriptum a divino Paulo: *Sic autem peccantes in fratres, et percutientes eorum infirmam conscientiam, in Christum*

στὸν ἁμαρτάνετε. καὶ ἵνα τί καὶ ἐκ προφητικῶν φθέγξωμαι βιβλίων, Ἐδικαιώθη Σόδομα ἐκ σοῦ. νενίκηκας τὰς Ἑλλήνων ἀθυροστομίας, ἃς ἐποιήσαντο κατὰ Χριστοῦ, μωρίαν ἡγούμενοι V 295 τὸν σταυρόν. οὐδὲν ὄντα διέδειξας τὰ τῆς Ἰουδαϊκῆς ἀπονοίας R 850 ἐγκλήματα. τούτων τοίνυν οὕτως ἐπὶ κατακρίσει τοῦ ἀσεβοῦς Θεοδώρου ὑπὸ τοῦ ἐν ἁγίοις Κυρίλλου εἰρημένων, εἰ καὶ δοίη τις κατὰ τοὺς ἐκείνων λόγους τὸν ἐν ἁγίοις Κύριλλον εἰρηκέναι τι ὑπὲρ Θεοδώρου, οὐδὲ τοῦτο ἐξαιρεῖται αὐτὸν τῆς κατακρίσεως. εὑρίσκομεν γὰρ ὡς πολλοὶ τῶν ἄλλων πατέρων τινὰς τῶν αἱρετικῶν ἀπεδέξαντο, ὥσπερ καὶ οἱ ἐν ἁγίοις Δάμασος καὶ Ἀθανά- C σιος καὶ Βασίλειος Ἀπολλινάριον, καὶ Λέων δὲ ὁ τῆς ὁσίας μνήμης Εὐτυχέα. καὶ ὅμως ἐπειδὴ φανερὰ γέγονεν ἡ τούτων ἀσέβεια, οὐκ ἐξέφυγον διὰ τὴν τοιαύτην ἀποδοχὴν οἱ αἱρετικοὶ τὴν μετὰ ταῦτα εἰς οἰκεῖον πρόσωπον καὶ τὴν αὐτῶν ἀσέβειαν γενομένην κατάκρισίν τε καὶ ἀναθεματισμόν. τοσαύτη δέ ἐστιν ἡ μανία τῶν Θεόδωρον ἐκδικούντων ὅτι τολμῶσι καταψεύδεσθαι καὶ Γρηγορίου τοῦ θεολόγου καὶ Ἰωάννου τοῦ Κωνσταντινουπόλεως, ὡς ἐπιστολὰς πρὸς αὐτὸν Θεόδωρον ἀποστειλάντων πεπληρωμένας ἐπαίνου· ὅπερ ψεύδους ἐστὶ μεστόν. Γρηγόριος μὲν γὰρ ὅτε ὑπὲρ D τῆς ἀληθείας ἐν Κωνσταντινουπόλει ἀγωνισάμενος καὶ τοὺς λαοὺς ἀπὸ τῆς τῶν Ἀρειανῶν πλάνης εἰς τὴν ὀρθόδοξον πίστιν ἐπιστρέψας εἰς τὴν οἰκείαν ἐπανῆλθε πατρίδα, τὰς παρὰ τῶν αἱρετικῶν κακούργως προφερομένας ἐπιστολὰς οὐ πρὸς Θεόδωρον τὸν Μο-

1. φθέγξομαι PV. Ezech. XVI. 51. 2. θυροστ. R. 9. τῶν alterum om. P. 11. δὲ om. P. 19. ὅτι P.

peccatis. Et ut aliquid etiam ex propheticis loquar codicibus: *Justificata est Sodoma ex te,* superasti Paganorum verbositates, quas contra Christum fecerunt, stultitiam existimantes crucem, nihil esse ostendisti Judaicae superbiae crimina." His igitur ad condemnationem Theodori sic a Sancto Cyrillo dictis, licet aliquis concedat, secundum illorum verba Sanctum Cyrillum aliquid pro Theodoro dixisse, neque hoc liberat illum a condemnatione. Invenimus enim, quod multi sanctorum Patrum quosdam haereticos collaudaverunt, sicut et Sancti Damasus et Athanasius et Basilius Apollinarium, et Sanctus Leo Eutychen: et tamen cognita eorum impietate, non propter hoc evaserunt haeretici condemnationem et anathema, quod postea contra eorum personam et impietatem factum est. Tantus autem est furor defendentium Theodorum, quia praesumunt adversus Gregorium Theologum, et Joannem Constantinopolitanum mentiri, dicentes epistolas ad eumdem Theodorum plenas laudis eos direxisse: quod falsum est. Gregorius enim, cum in Constantinopoli pro veritate laborans, conversis per eum ab Ariana insania ad Catholicam fidem populis, ad suam patriam reversus est, epistolas quas haeretici dolose pro-

ψουεστίας ἔγραψεν, ἀλλὰ πρὸς Θεόδωρον ἐπίσκοπον Τυάνων,
ἥτις ἐστὶν τῆς δευτέρας Καππαδοκῶν μητρόπολις· τῆς δὲ αὐτῆς
χώρας ἐστὶν ἡ Ναζιανζός, ἧς γέγονεν ἐπίσκοπος ὁ αὐτὸς ἐν
ἁγίοις Γρηγόριος, καὶ Ἀριανζὸς τὸ χωρίον, ὅθεν ὥρμητο. τοῦτο
γὰρ καὶ αὐταὶ σαφῶς δηλοῦσιν αἱ ἐπιστολαί, μεμνημέναι ἐθῶν
P 371 καὶ συνόδων καὶ τοῦ αὐτοῦ χωρίου Ἀριανζοῦ καὶ ἑτέρων χωρίων
τῆς αὐτῆς ἐπαρχίας καὶ μηνῶν τῇ ἐπιχωρίῳ διαλέκτῳ Καππαδο-
κῶν ὠνομασμένων καὶ Βοσπορίου ἐπισκόπου ὑπ' αὐτὸν τελοῦν-
τος Κολωνίας τῆς πόλεως καὶ ἑτέρων ἐπισκόπων καὶ χωρεπισκό-
πων καὶ μοναστηρίων ὑπὸ τὸν αὐτὸν τελούντων Θεόδωρον μνη-
μονεύουσαι, ὧν καὶ μέχρι νῦν σώζεται τὰ αὐτὰ ὀνόματα. ποία
δὲ μετουσία Καππαδόκαις πρὸς τοὺς ἀπὸ τῆς δευτέρας Κιλικίας
ἢ τότε ἢ νῦν ὑπάρχει, διαμεμερισμένης τῆς τῶν ἐπαρχιῶν τούτων
διοικήσεως; ἢ ποίους ἐπισκόπους ὑφ' ἑαυτὸν ἔχειν ἠδύνατο ὁ
B Μοψουεστίας ἐπίσκοπος, αὐτὸς ὑπὸ τὸν τῆς αὐτῆς δευτέρας Κι-
R 852 λικίας μητροπολίτην τελῶν; Ἰωάννης δὲ ὁ Κωνσταντινουπόλεως
ἔγραψεν ἐπιστολὴν πρὸς Θεόδωρον τὸν Μοψουεστίας, οὐκ ἐπαί-
νων δὲ ἀλλὰ μέμψεων καὶ ἐπιτιμήσεων οὖσαν μεστήν, ὡς ἐκπε-
σόντος αὐτοῦ τῆς θεοσεβείας. συνασκήσας γὰρ αὐτῷ τὸν μονήρη
βίον ἐν ἑνὶ καὶ τῷ αὐτῷ μοναστηρίῳ τῆς ἐκεῖσε συνδιαγωγῆς
ἀναμιμνήσκει αὐτόν, καὶ ταῦτα μαρτυροῦσι Σωζόμενος καὶ Ἡσύ-

4. *Γρηγόριος ὁ αὐτὸς ἐν ἁγίοις γέγονεν ἐπίσκοπος* P. 5. *ἐθνῶν* PV. 7. *μηνῶν ὡς* P, *μὴν ὡς* V. 9. *Κωλονίας* PV. 10. *τῶν αὐτῶν* P. 13. *ἢ* alterum om. P.

ferunt, non ad Theodorum Mopsuestenum scripsit, sed ad Theodorum
Tyanon. *sic* Episcopum Tyanensem, quae est secundae Cappadociae metropolis.
et Leuncl. Ejusdem autem provinciae sunt et Nazianzus civitas, cujus fuerat Epi-
Nanziantus scopus idem sanctae memoriae Gregorius, et Arianzus praedium, unde
ortus fuerat Hoc enim et ipsae epistolae aperte significant, memoriam facientes consuetudinum et collectionum, et ejusdem praedii Arianzi, et aliorum praediorum ejusdem provinciae, et mensis vernacula lingua Cappadocum nominati, et Bosphorii Episcopi sub eodem Theodoro constituti, qui tunc temporis Coloniae civitatis ejusdem provinciae Episcopus erat, et aliorum Episcoporum, et Chorepiscoporum, et Monasteriorum, quae sub Theodori jurisdictione erant, quorum usque nunc eadem nomina servantur. Qualis porro communio Cappadocibus ad secundam Ciliciam, vel tunc, vel modo divisa earum provinciarum gubernatione? Et quos Episcopos sub se habere poterat Mopsuestenus Episcopus, cum ipse sub metropolitano secundae Ciliciae constitutus esset? Joannes autem Constantinopolitanus scripsit quidem epistolam ad Theodorum Mopsuestenum, non tamen laudibus, sed querimoniis et increpationibus plenam, utpote illo a bona conversatione lapso. Quoniam enim cum eo monachicam vitam in uno eodemque Monasterio exercuit, conversationis ibi factae cum

χιος καὶ Σωκράτης καὶ Θεοδώρητος ὁ πολλοὺς ὑπὲρ Θεοδώρου
λόγους τε καὶ ἐπαίνους ἐκτείνας. εἰ δὲ προφέρουσι μαρτυρίας
Ἰωάννου τοῦ Ἀντιοχείας καὶ τῆς ὑπ' αὐτὸν ἀνατολικῆς συνόδου C
ὑπὲρ Θεοδώρου καὶ τῆς αὐτοῦ ἀσεβείας γενομένας, ἀνάγκη αὐ-
τοὺς κἀκεῖνα δέξασθαι, ἅπερ ὅσον τό γε ἐπ' αὐτοῖς εἰς κατάκρι-
σιν τοῦ ἐν ἁγίοις Κυρίλλου καὶ ἀθέτησιν τῆς ὀρθῆς πίστεως οἱ V 296
περὶ Ἰωάννην ἐτόλμησαν, καὶ ἅπερ ἔγραψαν, Νεστόριον καὶ
τὴν αὐτοῦ κακοδοξίαν ἐπὶ πλεῖστον χρόνον ἐκδικοῦντες. καὶ τοῦτο
δείκνυται ἐκ διαφόρων αὐτῶν λόγων τε καὶ ἐπιστολῶν πρὸς Θεο-
δόσιον τὸν τῆς εὐσεβοῦς λήξεως καὶ ἑτέρους διαφόρους γραφει-
σῶν. καὶ ταῦτα μὲν οὕτως. ἵνα δὲ μηδὲν τῆς ἀκριβείας παρα-
λείψωμεν, ἀναγκαῖον ἐνομίσαμεν μνησθῆναι καὶ τῶν γραφέντων D
παρὰ Αὐγουστίνου τοῦ τῆς ὁσίας μνήμης ἐπισκόπου ἐν Ἀφρικῇ
γενομένου. ζητήσεως γάρ τινος περὶ Καικιλιανοῦ μετὰ θάνατον
αὐτοῦ κινηθείσης, ὡς τῆς ἐκκλησιαστικῆς παρατραπέντος παρα-
δόσεως, καί τινων τούτου χάριν χωρισάντων ἑαυτοὺς τῆς καθο-
λικῆς ἐκκλησίας, γράφει πρὸς Βονιφάτιον ὁ αὐτὸς τῆς ὁσίας
μνήμης Αὐγουστῖνος ὡς οὐκ ἔδει τινὰς διὰ τοῦτο χωρίσαι ἑαυτοὺς
τῆς καθολικῆς ἐκκλησίας· εἰ γὰρ ἀληθῆ ὑπῆρχεν τὰ ἐπαγόμενα
Καικιλιανῷ, καὶ ἐφανερώθη ἐναντία φρονήσας τῆς καθολικῆς
καταστάσεως, καὶ μετὰ θάνατον ἂν τοῦτον ἀναθέματι ὑπέβαλον. P 372

2. λόγους καὶ P sola. ib. προσφέρουσι P. 18. χωρῆσαι PV.

admonuit: et pro his testimonium praebent Sozomenus, et Hesychius, et Socrates, et Theodoretus, qui multas pro Theodoro orationes et laudes fecit. Si autem testimonia proferunt Joannis Antiocheni, et Orientalis Concilii sub eo constituti, facta pro Theodoro, et ejus impietate, necesse est eos, et illa suscipere, quae (quantum ad illos pertinet) ad condemnationem Sancti Cyrilli, et reprobationem rectae fidei fecerunt Joannes et qui cum illo erant, nec non etiam quae scripserunt, Nestorium et ejus perfidiam diutius defendentes. Et hoc ostenditur ex diversis eorum libris et epistolis, quas ad Theodosium piae recordationis, et ad alios diversos scripserunt. Et haec quidem sic se habent. Ut autem nihil subtilitatis praetermittamus, necessarium putavimus memorare etiam illa, quae ab Augustino sanctae memoriae Africano Episcopo scripta sunt. Quaestione enim aliqua post mortem Caeciliani de eo mota, quod ab Ecclesiastica traditione declinasse dicebatur, et propter hoc quibusdam a Catholica Ecclesia separatis, scribit ad Bonifacium idem Sanctus Augustinus, quod non oporteret, aliquos ideo separare sese a Catholica Ecclesia: Si enim vera essent ea quae Caeciliano inferebantur, et manifestatus esset contrarium aliquid Ecclesiastico statui sapuisse, etiam post mortem eum anathemati subjicerem. Sed et regula san-

Ut et haec quidem sic. ut autem, etc. praetermittimus. *Leuncl.* et ut haec quidem sic-ut nihil subtilitatis ha-

ἀλλὰ καὶ κανὼν τῆς ἁγίας ἐν Ἀφρικῇ συνόδου διαγορεύει τοὺς
ἐπισκόπους τοὺς τὴν οἰκείαν περιουσίαν ἢ ἐν διαθήκῃ ἢ ἐξ ἀδια-
θέτου αἱρετικῷ παραπέμποντας χρῆναι καὶ μετὰ θάνατον ἀναθε-
ματίζεσθαι. πρὸς τούτοις δὲ ἅπασι τίς ἀγνοεῖ τὰ ἐν τοῖς ἡμετέ-
ροις χρόνοις ἐν τῇ ἐκκλησίᾳ τῆς πρεσβυτέρας Ῥώμης γενόμενα
κατὰ Διοσκόρου, ὃς οὐδὲν περὶ πίστιν ἡμαρτηκὼς διὰ μόνην ἐκ-
R 854 κλησιαστικὴν κατάστασιν μετὰ θάνατον παρ' αὐτῆς τῆς κατὰ
Ῥώμην ἁγιωτάτης ἐκκλησίας ἀνεθεματίσθη. εἰ τοίνυν οἱ μηδὲν
εἰς πίστιν πταίσαντες ἐπίσκοποι διὰ κατάστασιν ἐκκλησιαστικὴν
B καὶ διὰ χρηματικὴν αἰτίαν ἀναθέματι καὶ μετὰ θάνατον ὑποβάλ-
λονται, πόσῳ μᾶλλον Θεόδωρος ὁ εἰς αὐτὸν τὸν θεὸν ἀσεβήσας;
ὅσον δὲ πρὸς τὴν ἄνοιαν τῶν λεγόντων μὴ δεῖν ἀναθεματίζε-
σθαι μετὰ θάνατον τοὺς ἐν τῇ οἰκείᾳ ἀσεβείᾳ τελευτῶντας, ἔδει
μηδὲ τοὺς ἀδίκως κατακριθέντας πατέρας μετὰ θάνατον ἀνακα-
λεῖσθαι, ὅπερ συμβέβηκεν καὶ ἐπὶ Ἰωάννῃ τῷ ἐν ὁσίᾳ τῇ μνήμῃ
ἐπισκόπῳ γενομένῳ Κωνσταντινουπόλεως ὑπὸ τῆς καθολικῆς ἐκ-
κλησίας μετὰ θάνατον ἀνακληθέντι καὶ ἐπὶ Φλαβιανῷ τῷ τῆς ὁσίας
μνήμης, καὶ αὐτῷ Κωνσταντινουπόλεως γενομένῳ ἐπισκόπῳ,
C ἀδίκως μὲν ἐν ζωῇ κατακριθέντι, δικαίως δὲ μετὰ θάνατον ἀνα-
κληθέντι ὑπό τε τοῦ τῆς ὁσίας μνήμης πάπα Λέοντος καὶ τῆς
ἐν Χαλκηδόνι ἁγίας συνόδου. ἐντεῦθεν δὲ συμβαίνει κατὰ τοὺς
ἐκείνων λόγους τοὺς μὲν αἱρετικοὺς τοῖς ἁγίοις πατράσι συναρι-

4. τοῖς om. P. 8. ἀναθεμ. PV. 15. τῇ om. P. 20. τοῦ om. P. 21. δὲ] τε V.

bentis praetermittamus.

ctae Synodi Africanae statuit, Episcopos, qui suas facultates in testamento, vel ex intestato haeretico relinquunt, oportere et post mortem anathematizari. Super haec autem omnia, quis ignorat, ea quae nostris temporibus in Ecclesia antiquioris Romae contra Dioscorum acta sunt? Qui cum nihil in fidem peccasset, tamen propter solum Ecclesiasticum ordinem post mortem ab eadem sancta Ecclesia Romana anathematizatus est? Si igitur nihil in fidem peccantes Episcopi, propter solum Ecclesiasticum ordinem, et propter causam pecuniariam anathemati et post mortem subjiciuntur: quanto magis Theodorus, qui in ipsum Deum peccavit? Quantum autem ad insipientiam dicentium, non oportere anathematizari post mortem eos, qui in sua impietate mortui: oportebat nec eos, qui injuste condemnati sunt Patres post mortem revocari, quale contigit in Joanne sanctae recordationis Episcopo Constantinopolitanae civitatis, ab universali Ecclesia post mortem revocato, et in Flaviano sanctae memoriae et ipso Episcopo Constantinopolitanae civitatis, injuste quidem in vita condemnato, juste autem post mortem revocato tam a sanctae memoriae Papa Leone, quam a sancta Calchedonensi Synodo. Ex hoc autem contingit secundum illorum verba, haereticos quidem sanctis Patribus connumerari, utpote liberatos debita eis condemnatione,

θμεῖσθαι, οἷα ἐλευθέρους ἀφιεμένους τῆς ὀφειλομένης αὐτοῖς
κατακρίσεως, τοὺς δὲ ἁγίους πατέρας ἀδίκως καταδικασθέντας
τοῖς αἱρετικοῖς συνάπτεσθαι, οἷα μὴ λυομένης τῆς ἐπ' αὐτοῖς
ἀδίκου κατακρίσεως. ἀξιοπιστότερος δὲ πάντων ἐστὶ διδάσκαλος
ὁ κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς ὁ Χριστὸς περὶ ἑαυτοῦ λέγων,
Οὕτω γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον ὥστε τὸν υἱὸν αὐτοῦ τὸν D
μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται,
ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐ-
τοῦ, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ.
ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται· ὁ μὴ πιστεύων εἰς αὐτὸν ἤδη
κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ
τοῦ θεοῦ. καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον διὰ τοῦ προφήτου Δαβὶδ V 297
λέγει τοὺς ἀσεβεῖς μὴ ἀναστήσεσθαι ἐν κρίσει. τῆς οὖν τοιαύτης
τοῦ κυρίου ἀποφάσεως ἐξενεχθείσης κατὰ παντὸς ἀσεβοῦς, καὶ
οὐδὲν διαστελλούσης μεταξὺ ζώντων καὶ νεκρῶν αἱρετικῶν, πῶς
τολμῶσιν ἀντιπίπτειν τῇ τοιαύτῃ ἀποφάσει, καὶ τοὺς ἅπαξ ἀσε-
βήσαντας καὶ διὰ τοῦτο ἤδη ὑπὸ τοῦ κυρίου κατακεκριμένους P 373
λέγειν μὴ δεῖν μετὰ θάνατον κατακρίνεσθαι; καὶ ὁ θεῖος δὲ
ἀπόστολος, τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, οὐ μόνον κατὰ R 856
ἀνθρώπων, ἀλλὰ καὶ κατὰ ἀγγέλων, τὴν τοιαύτην ἐπήγαγεν
ἀπόφασιν, εἰπὼν ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Γαλάτας, Ἀλλὰ καὶ
ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμᾶς παρ' ὃ εὐηγ-

1. αὐτῆς P. 3. τῆς] πῶς P. ib. ἑαυτοῖς R. 5. ὁ alterum om. P. 12. Δαβὶδ] Ps. I. 5. 21. Γαλάτας] I. 8. 22. εὐαγγελίζεται PV. ib. εὐαγγελισάμεθα P.

sanctos autem Patres injuste condemnatos, haereticis conjungi, utpote non soluta contra eos facta iniqua damnatione. Omnibus autem magis credendus est Doctor Dominus et Deus noster Jesus Christus, de se di- Doctor est
cens: *Sic enim dilexit Deus mundum, ut filium suum unigenitum daret, ut omnis qui credit in eum, non pereat, sed habeat vitam aeternam. Non enim misit Deus Filium suum in mundum ut judicet mundum, sed ut salvetur mundus per ipsum. Qui credit in eum, non judicatur: qui autem non credit, jam judicatus est, quia non credit in nomine unigeniti Filii Dei.* Et Spiritus autem sanctus per Prophetam David dicit, impios non resurrecturos in judicio. Tali igitur Domini sententia prolata adversus omnem impium, et nihil discernente inter vivos et mortuos haereticos, quomodo audent resistere tali sententiae, et eos qui semel impie egerunt, et propter hoc jam a Domino condemnati sunt, dicere, non oportere post mortem condemnari? Et divinus autem Apostolus, qui Christum in semetipso habet loquentem, non solum adversus homines, sed etiam adversus Angelos talem protulit sententiam, dicens in Epistola ad Galatas: *Sed licet nos aut Angelus de coelo evangelizaverit praeter-*

γελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω, ὡς προειρήκαμεν. καὶ ἄρτι πάλιν λέγω, Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. καὶ τίς οὕτως ἀσεβὴς ὡς τολμῆσαι εἰπεῖν ὡς τὰ παρὰ Θεοδώρου ἀσεβῶς συγγραφέντα ἢ μέρος αὐτῶν παρεδόθη
B *ποτὲ τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ, ἀλλ' οὐκ εὐθὺς ὁ τολμήσας τι τοιοῦτο παραφθέγξασθαι ἀναθέματι καθυπεβλήθη παρὰ τῶν ἁγίων πατέρων;*

Εἴ τις τοίνυν μετὰ τὴν τοιαύτην ὀρθὴν ὁμολογίαν καὶ κατάκρισιν τῶν αἱρετικῶν, τῆς εὐσεβοῦς ἐννοίας σωζομένης, περὶ ὀνομάτων ἢ συλλαβῶν ἢ λέξεων ζυγομαχῶν χωρίζει ἑαυτὸν τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, ὥσπερ ἐν ὀνόμασι μόνοις καὶ λέξεσι κειμένης ἡμῖν τῆς εὐσεβείας, ἀλλ' οὐκ ἐν πράγμασιν, ὁ τοιοῦτος ὡς τοῖς σχίσμασι χαίρων λόγον ὑφέξει ὑπὲρ ἑαυτοῦ καὶ τῶν ὑπ' αὐτοῦ ἀπατωμένων ἢ ἀπατηθησομένων τῷ μεγάλῳ θεῷ καὶ σω-
C *τῆρι ἡμῶν Ἰησοῦ Χριστῷ ἐν ἡμέρᾳ κρίσεως.*

Ἰνδ. α'. κϛ'. μετὰ ὑπ. Βασιλείου τὸ ιβ' μόνου.

Ἰνδ. β'. κζ'. μετὰ ὑπ. Βασιλείου τὸ ιγ' μόνου.

Ἰνδ. γ'. κη'. μετὰ ὑπ. Βασιλείου τὸ ιδ' μόνου.

τλδ' Ὀλυμπιάς.

Ἰνδ. δ'. κθ'. μετὰ ὑπ. Βασιλείου τὸ ιε' μόνου.

Ἰνδ. ε'. λ'. μετὰ ὑπ. Βασιλείου τὸ ιϛ' μόνου.

6. τοιοῦτον P.

quam quod evangelisavimus vobis, anathema sit. Sicut praedisimus, et nunc iterum dico: Si quis vobis evangelizaverit praeter id quod accepistis, anathema sit. „Et quis ita impius est, ut praesumat dicere, quod Theodori impia scripta, vel pars eorum, tradita est aliquando sanctae Dei Ecclesiae, et non statim, qui ausus est aliquid tale loqui, anathemati subjectus est a sanctis Patribus?"

„Si quis igitur post ejusmodi rectam confessionem, et haereticorum condemnationem, salvo manente pio intellectu, de nominibus vel syllabis vel dictionibus contendens, separat se a sancta Dei Ecclesia, tamquam non in rebus, sed in nominibus solis et dictionibus posita nobis pietate: talis utpote dissensionibus gaudens, rationem pro semetipso, et pro deceptis et decipiendis ab eo, reddet magno Deo et Salvatori nostro Jesu Christo in die judicii."

A. C.			[Ol. Iph.]
553.	XXVI.	Ind. I. Post Consulatum Basilii XII. solius.	1. 333.
554.	XXVII.	Ind. II. Post Cons. Basilii XIII. solius.	2.
555.	XXVIII.	Ind. III. Post Cons. Basilii XIV. solius.	3.
		CCCXXXIV. Olympias.	
556.	XXIX.	Ind. IV. Post Cons. Basilii XV. solius.	4.
557.	XXX.	Ind. V. Post Cons. Basilii XVI. solius.	1. 334.

Ἰνδ. ϛ΄. λα΄. μετὰ ὑπ. Βασιλείου τὸ ιζ΄ μόνον. D
Ἰνδ. ζ΄. λβ΄. μετὰ ὑπ. Βασιλείου τὸ ιη΄ μόνον.

τλε΄ Ὀλυμπιάς.

Ἰνδ. η΄. λγ΄. μετὰ ὑπ. Βασιλείου τὸ ιθ΄ μόνον.
Ἰνδ. θ΄. λδ΄. μετὰ ὑπ. Βασιλείου τὸ κ΄ μόνον.
Ἰνδ. ι΄. λε΄. μετὰ ὑπ. Βασιλείου τὸ κα΄ μόνον.

Τούτῳ τῷ ε΄ καὶ λ΄ ἔτει τῆς Ἰουστινιανοῦ βασιλείας καὶ
μετὰ ὑπατείας Βασιλείου τὸ κα΄ τῇ κ΄ τοῦ μαρτίου μηνός, ἰνδι- P 374
κτιῶνος ι΄, καὶ τρίτῳ ἔτει τλε΄ Ὀλυμπιάδος, ἐπληρώθη τὰ φλβ΄
ἔτη τοῦ ἑορταστικοῦ κύκλου τοῦ ἁγίου καὶ ζωοποιοῦ σταυροῦ,
ἀφ᾽ οὗ τὸν ὑπὲρ ἡμῶν ἑκούσιον καὶ ζωοποιὸν κατεδέξατο θάνα-
τον Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, καὶ ἡμεῖς οἱ χριστιανοὶ ἑορ-
τάζειν ἠρξάμεθα τὴν ἁγίαν αὐτοῦ ἀνάστασιν. καὶ ἄρχεται ἡ δευ- R 858
τέρα περίοδος τοῦ ἑορταστικοῦ κύκλου τῶν φλβ΄ ἐνιαυτῶν ἀπὸ V 298
εἰκοστῆς πρώτης καὶ αὐτῆς τοῦ μαρτίου μηνὸς τῆς ἐνεστώσης
ἐπινεμήσεως, καθ᾽ ἣν ἡ ἰσημερία γνωρίζεται.

Τοῦ ἁγίου Γρηγορίου ἐκ τοῦ εἰς τὸ πάσχα λόγου.

Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, φησὶν ὁ θαυμάσιος Ἀμβα- B
κούμ, κἀγὼ μετ᾽ αὐτοῦ σήμερον τῆς δεδομένης μοι παρὰ τοῦ

4. 5. *Βασιλείου* bis om. R, in m. supplens. 7. ε΄ καὶ λ΄ ἔτει] πέμπτῳ ἔτει καὶ τριακοστῷ P. 8. ὑπατείαν P sola. ib. κ΄ τοῦ] εἰκοστῇ P. 12. οἱ om. P. 18. Ἀμβακούμ] II. 1.

558. XXXI. Ind. VI. Post Cons. Basilii XVII. solius. 2.
559. XXXII. Ind. VII. Post Cons. Basilii XVIII. solius. 3.

CCCXXXV. Olympias.

560. XXXIII. Ind. VIII. Post Cons. Basilii XIX. solius. 4.
561. XXXIV. Ind. IX. Post Cons. Basilii XX. solius. 1. 335.
562. XXXV. Ind. X. Post Cons. Basilii XXI. solius. 2.

Hoc quinto et trigesimo Justiniani Imperatoris anno, et post Consulatum Basilii XXI. Martii mensis die XX. et Indict. X. anno III. Olympiadis CCCXXXV. completi sunt anni DXXXII. Paschalis Cycli sanctae et vivificae Crucis, in qua Christus verus Deus noster voluntariam et vivificam mortem pro nobis subiit, ex quo nos Christiani celebrare coepimus sanctam ipsius Resurrectionem. Et incipit secunda Cycli Paschalis periodus annorum DXXXII. a vicesima prima die Martii praesentis Indictionis, qua quidem die aequinoctium incipit.

SANCTI GREGORII
ex oratione de Pascha.

„*Super custodiam meam stabo*, inquit admirandus Habacuc. Atque ego hodierna die cum ipso, concessa mihi Spiritus sancti facultate et con-

πνεύματος ἐξουσίας καὶ θεωρίας, καὶ ἀποσκοπεύσω καὶ γνώσομαι τί ὀφθήσεται καὶ τί λαληθήσεταί μοι. καὶ ἔστην καὶ ἀπεσκόπευσα. καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ τῶν νεφελῶν, καὶ οὗτος ὑψηλὸς σφόδρα, καὶ ἡ ὅρασις αὐτοῦ ὡς ὅρασις ἀγγέλου, καὶ ἡ στολὴ αὐτοῦ ὡς φέγγος ἀστραπῆς διερχομένης. καὶ ἐπῆρεν τὴν χεῖρα αὐτοῦ κατὰ ἀνατολάς, καὶ ἐβόησεν φωνῇ μεγάλῃ· φωνὴ αὐτοῦ ὡς φωνὴ σάλπιγγος, καὶ κύκλῳ αὐτοῦ ὡς πλῆθος οὐρα- C νίου στρατιᾶς. καὶ εἶπεν, Σήμερον σωτηρία τῷ κόσμῳ ὅσος τε ὁρατὸς καὶ ὅσος ἀόρατος. Χριστὸς ἐκ νεκρῶν, συνεγείρεσθε. Χριστὸς εἰς ἑαυτόν, ἐπανέρχεσθε. Χριστὸς ἐκ τάφων, ἐλευθερώθητε τῶν δεσμῶν τῆς ἁμαρτίας. πύλαι ᾄδου ἀνοίγονται, καὶ θάνατος καταλύεται, καὶ ὁ παλαιὸς Ἀδὰμ ἀποτίθεται. καὶ εἴ τις ἐν Χριστῷ καινὴ κτίσις, ἀνακαινίζεσθε. ταῦτα ὁ μὲν ἔλεγεν. οἱ δὲ ἀνύμνουν ὅπερ καὶ πρότερον, ἡνίκα ἡμῖν ἐπεφάνη Χριστὸς διὰ τῆς κάτω γεννήσεως, τὸ Δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· μεθ' ὧν καὶ αὐτὸς ἐν ὑμῖν ταῦτα φθεγγόμενος. εἴη δὲ καὶ φωνὴν λαβεῖν τῆς ἀγγελικῆς ἀξίαν καὶ πάντα περιηχοῦσαν τὰ πέρατα.

D Λογιζέσθω ἡ ἀρχὴ τῆς ἀποκαταστάσεως, ἤγουν περιόδου τῶν φλβ' ἐνιαυτῶν ἀπὸ ε' ἔτους καὶ αὐτοῦ Φιλίππου τοῦ ἰουνίορος καὶ Φιλίππου υἱοῦ αὐτοῦ, ὑπατείας Δεκίου καὶ Γρατιανοῦ, καὶ α' ἔτους σνζ' Ὀλυμπιάδος, ἐξ οὗπερ τις ἀνιὼν ἐπὶ τὸ ιθ'

2. ἔστιν V, ἔστη P. 17. φθέγγομαι Gregorius p. 846. ed. Benedictin. ib. ἀξίας P. 20. ἰούνορος RV. 22. πρῶτον ἔτος P.

templatione, et contemplabor, et cognoscam, quod mihi spectaculum visendum, et quid dicendum sit mihi. *Et steti, et speculatus sum, et ecce vir conscendens nubes, et hic sublimis valde, et facies ejus, tamquam facies Angeli, et amictus ejus ut splendor fulguris pertranseuntis.* Et sustulit manum ad orientem, et clamavit voce magna, vox ejus quasi Vex buccinae, et in circuitu ejus, quasi multitudo caelestis exercitus. Et dixit: Hodie salus mundo tam visibili quam invisibili. Christus ex mortuis, una resurgite. Christus in seipsum, redite. Christus ex sepulchro, peccati vinculis solvimini. Portae inferi aperiuntur, et mors deletur, et vetus Adam deponitur. Et si qua est in Christo nova creatura, renovamini. Haec quidem ipse dicebat. Illi autem idem canebant quod ante, cum nobis apparuerit Christus per incarnationem, illud, *Gloria in altissimis Deo, et in terra pax, in hominibus bona voluntas,* cum quibus et ipse inter vos haec loquor: Utinam vocem Angelis parem, quae omnes mundi fines pervadat, accipiam."

Computetur principium reparationis, sive periodi annorum DXXXII. a quinto anno et ipsius Philippi Junioris, et Philippi filii ejus, et a Decii et Gratiani Consulatu, et primus annus CCLVII. Olympiadis, ex quo re-

ἔτος Τιβερίου Καίσαρος, ἤγουν δ' ἔτος σβ' Ὀλυμπιάδος, ἐν ᾧ γέγονεν τὸ σωτήριον πάθος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εὑρήσει χρόνον ἐτῶν σιη'. κατιὼν δὲ ἐπὶ τὸ η' ἔτος Κωνσταντίνου τοῦ μεγίστου βασιλέως, καθ' ὃ ἡ πρώτη ἴνδικτος ἐτέθη ἐν ὑπατείᾳ Βολουσιανοῦ καὶ Ἀνιανοῦ, συνάξει ἔτη ξε'. ἀπὸ δὲ θ' P 375
ἔτους Κωνσταντίνου καὶ μέχρι τῆς ἐνεστώσης ι' ἰνδικτιῶνος, R 360
ἔτους λε' τῆς βασιλείας Ἰουστινιανοῦ ἐν ὑπατείᾳ Βασιλειου τὸ κα' μόνου, ἀθροίσει χρόνον ἐτῶν σμθ', ὡς ὁμοῦ εἶναι τὰ ἀπὸ τοῦ σωτηρίου πάσχα μέχρι τοῦ ἐνεστῶτος λε' ἔτους τῆς Ἰουστινιανοῦ βασιλείας καὶ γ' ἔτους τλε' Ὀλυμπιάδος ἔτη φλβ'.

Ἰνδ. ια'. λς'. μετὰ ὑπ. Βασιλείου τὸ κβ' μόνου.

Τούτῳ τῷ λς' ἔτει τῆς Ἰουστινιανοῦ βασιλείας μηνὶ ἀπελλαίῳ, κατὰ Ῥωμαίους δεκεμβρίου κδ', ἡμέρᾳ πρώτῃ τῆς ιβ' B
ἰνδικτιῶνος, ἡ τῶν ἐγκαινίων τῆς ἁγίας τοῦ θεοῦ μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως τὸ δεύτερον ἐπετελέσθη ἑορτή.

τλς' Ὀλυμπιάς.

Ἰνδ. ιβ'. λζ'. μετὰ ὑπ. Βασιλείου τὸ κγ' μόνου.
Ἰνδ. ιγ'. λη'. μετὰ ὑπ. Βασιλείου τὸ κδ' μόνου. V 299
Ἰνδ. ιδ'. λθ'. μετὰ ὑπ. Ἰουστίνου νέου τὸ β' μόνου.

2. τὸ om. P. 3. εὑρήσεις P. 5. συνάξεις P sola. 8. ἀθροίσεις P. 12. ἔτει λς' P. ib. ἀπηλλαίῳ PV. 15. ἀπετελέσθη P.

grediens ad XIX. Tiberii Caesaris annum, sive ad IV. Olympiadis CCII. Anni am. c.
quo salutaris Domini nostri Jesu Christi passio contigit, invenies tempus annorum CCXVIII. Descendens vero ad annum VIII. Constantini Maximi Imperatoris, quando prima Indictio posita est in Consulatu Volusiani et Aniani, colliges annos LXV. A nono autem anno Constantini, usque ad praesentem Indictionem X. anni XXXV. imperii Justiniani in Consulatu Basilii XXI. solius, conficies annos CCXLIX. ita ut simul collecti a salutari Paschate usque ad praesentem XXXV. annum Justiniani Imperatoris, et III. annum Olympiadis CCCXXXV. putentur anni DXXXII.

A. C. [Ol. Iph.]
563. XXXVI. Ind. XI. Post Cons. Basilii XXII. solius. 3. 6071.
Hoc Justiniani imperii anno XXXVI. mense Apelleo, sive secundum Romanos, Decemb. XXIV. feria I. Indictionis XII. Encaeniorum seu Dedicatio Sanctae Dei Magnae Ecclesiae Constantinopolitanae secundo celebrata est Festivitas.

CCCXXXVI. Olympias.

564. XXXVII. Ind. XII. Post Cons. Basilii XXIII. solius. 4.
565. XXXVIII. Ind. XIII. Post Cons. Basilii XXIV. solius. 1. 336.
566. XXXIX. Ind. XIV. Post Cons. Justini Junioris II. solius. 2.

Τούτῳ τῷ ἔτει τῇ ιδʹ τοῦ νοεμβρίου μηνὸς ἰνδικτιῶνος ιεʹ
C *ἐτελεύτησεν Ἰουστινιανός, καὶ ἐβασίλευσεν Ἰουστῖνος νέος Αὔγουστος ἔτη ιαʹ, μῆνας ηʹ.* ὁμοῦ ͵ϛπζʹ.

Ἰνδ. ιεʹ. αʹ. μετὰ βʹ ὑπ. Ἰουστίνου νέου Αὐγούστου μόνου.

τλζʹ Ὀλυμπιάς.

D *Ἰνδ. αʹ. βʹ. μετὰ βʹ ὑπ. Ἰουστίνου νέου Αὐγούστου τὸ βʹ μόνου.*

Ἰνδ. βʹ. γʹ. μετὰ βʹ ὑπ. Ἰουστίνου νέου Αὐγούστου τὸ γʹ μόνου.

Ἰνδ. γʹ. δʹ. μετὰ βʹ ὑπ. Ἰουστίνου νέου Αὐγούστου τὸ δʹ μόνου.

Ἰνδ. δʹ. εʹ. μετὰ βʹ ὑπ. Ἰουστίνου νέου Αὐγούστου τὸ εʹ μόνου.

τληʹ Ὀλυμπιάς.

Ἰνδ. εʹ. ϛʹ. μετὰ βʹ ὑπ. Ἰουστίνου νέου Αὐγούστου τὸ ϛʹ μόνου.

3. Post *ὁμοῦ ͵ϛπζʹ* addit P *Ἦν δὲ ἡ ἰδέα Ἰουστινιανοῦ τοῦ βασιλέως κονδοειδής (κωνοειδής P), εὔστηθος, λευκός, ὀλιγόθριξ, ἀναφαλάς, στρογγυλοψ, εὔμορφος, ἀνθηροπρόσωπος, ὑπογελῶν, μιξοπόλιος τὴν κάραν, τὸ γένειον κηρὸν* (leg. *κείρων*), *ὡς οἱ Ῥωμαῖοι, εὔρινος, ὑπόλευκος* *)*, quae in margine ascribit V. 4. Ante hunc versum ponit P *τέλος Ἰουστινιανοῦ*. Tum *βʹ* post *μετὰ* octies om. P.

6086. **Hoc anno, xiv. die mensis Novembris, Indict. xv. mortuus est Justinianus, et imperavit Justinus Junior Augustus anno xi. menses viii. Collig. an. vi. mlxxxvii.**

FINIS JUSTINIANI.

567. i. Ind. xv. Post Cons. Justini Junioris Augusti solius. 3.

CCCXXXVII. Olympias.

568. ii. Ind. i. Post Cons. Justini Junioris Augusti II. solius. 4.
569. iii. Ind. ii. Post Cons. Justini Junioris Augusti III. solius. 1. 337.
570. iv. Ind. iii. Post Cons. Justini Junioris Augusti IV. solius. 2.
571. v. Ind. iv. Post Cons. Justini Junioris Augusti V. solius. 3.

CCCXXXVIII. Olympias.

572. vi. Ind. v. Post Cons. Justini Junioris Augusti VI. solius. 4.

*) Erat Justinianus Imperator forma habituque corporis turbinali, pectorosus, candidus, raro capillo, recalvaster, facie tereti, formosus, florido aspectu, subridens, subcano capite, mento Romanorum more raso, naso justo, subalbus.

Ἰνδ. ϛ΄. ζ΄. μετὰ β΄ ὑπ. Ἰουστίνου νέου Αὐγούστου τὸ ζ΄ μόνου. P 376 R 862

Ἰνδ. ζ΄. η΄. μετὰ β΄ ὑπ. Ἰουστίνου νέου Αὐγούστου τὸ η΄ μόνου.

Τούτῳ τῷ η΄ ἔτει τῆς αὐτοῦ βασιλείας μηνὶ σεπτεμβρίῳ ζ΄ τῆς η΄ ἰνδικτιῶνος ἠσθένησεν Ἰουστῖνος Αὔγουστος, καὶ ἐποίησεν Τιβέριον Καίσαρα, μετονομάσας αὐτὸν Κωνσταντῖνον, καὶ διετέλεσε σὺν αὐτῷ Καῖσαρ ὢν ἔτη τέσσαρα.

Ἰνδ. η΄. θ΄. μετὰ β΄ ὑπ. Ἰουστίνου Αὐγούστου τὸ θ΄ μόνου.

τλθ΄ Ὀλυμπιάς. B

Ἰνδ. θ΄. ι΄. μετὰ β΄ ὑπ. Ἰουστίνου Αὐγούστου τὸ ι΄ μόνου.

Ἰνδ. ι΄. ια΄. μετὰ β΄ ὑπ. Ἰουστίνου Αὐγούστου τὸ ια΄ μόνου.

Ἰνδ. ια΄. ιβ΄. μετὰ β΄ ὑπ. Ἰουστίνου Αὐγούστου τὸ ιβ΄ μόνου.

Τούτῳ τῷ ιβ΄ ἔτει τῆς Ἰουστίνου βασιλείας μηνὶ σεπτεμβρίῳ κϛ΄ τῆς ιβ΄ ἰνδικτιῶνος ἐστέφθη ὑπ' αὐτοῦ Τιβέριος νέος Κωνσταντῖνος, καὶ τῇ ε΄ τοῦ μετ' αὐτὸν ὀκτωβρίου μηνὸς τελευτᾷ Ἰουστῖνος Αὔγουστος.

Καὶ ἐμονάρχησεν Τιβέριος Κωνσταντῖνος ἕτερα ἔτη δ΄. C
ὁμοῦ ,ϛϙα΄.

Ἰνδ. ιβ΄. α΄. ὑπ. Τιβερίου νέου Κωνσταντίνου Αὐγούστου τὸ α΄.

5. ἔτει η΄ P. 9. β΄ quater om. P. ib. Αὐγούστου] Νέου P. 11. Νέου Αὐγούστου ter P. 14. ἔτει ιβ΄ P. 20. Ante Ἰνδ. ponit Τιβέριος P. ib. ὑπ.] μετὰ ὑπ. P.

A. C. [Ol. Iph.]
573. VII. Ind. VI. Post Cons. Justini Junioris Augusti VII. solius. 1. 338. Anni a m. c.
574. VIII. Ind. VII. Post Cons. Justini Junioris Augusti VIII. solius. 2. 6081.

Hoc anno illius imperii VIII. mense Septembri, die VII. Indict. VIII. morbo correptus est Justinus Augustus, et Tiberium Caesarem dixit, nomine Constantini indito: vixitque ille cum eo, Caesaris insignitus dignitate, annos quatuor.

575. IX. Ind. VIII. Post Cons. Justini Junioris IX. solius. 3.

CCCXXXIX. Olympias.

576. X. Ind. IX. Post Cons. Justini Junioris X. solius. 4.
577. XI. Ind. X. Post Cons. Justini Junioris XI. solius. 1. 339.
578. XII. Ind. XI. Post Cons. Justini Junioris XII. solius. 2.

Hoc anno XII. Justini imperii, mense Septembri, die XXVI. Indictione XII. coronatus est ab eo Tiberius Novus Constantinus: et V. die mensis Octobris moritur Justinus Augustus.

Et solus imperavit Tiberius Constantinus alios annos IV. Colliguntur anni VI. MXCI. 6090.

TIBERIUS.

579. I. Ind. XII. Post Cons. Tiberii Novi Constantini Augusti I. 3.

V 300 τμ΄ Ὀλυμπιάς.

Ἰνδ. ιγ΄. β΄. μετὰ ὑπ. Τιβερίου νέου Κωνσταντίνου.

Ἰνδ. ιδ΄. γ΄. μετὰ ὑπ. Τιβερίου νέου Κωνσταντίνου τὸ β΄ μόνον.

D Ἰνδ. ιε΄. δ΄. μετὰ ὑπ. Τιβερίου νέου Κωνσταντίνου τὸ γ΄ μόνον.

Τούτῳ τῷ δ΄ ἔτει τῆς αὐτοῦ μοναρχίας ἠσθένησε Τιβέριος Καῖσαρ, καὶ τῇ πέμπτῃ τοῦ αὐγούστου μηνὸς τῆς παρούσης α΄ ἰνδικτιῶνος ἐγένετο Καῖσαρ Μαυρίκιος Τιβέριος· καὶ τῇ δεκάτῃ τρίτῃ τοῦ αὐγούστου μηνὸς ἐστέφθη βασιλεύς, δοθείσης αὐτῷ παρὰ Τιβερίου νέου Κωνσταντίνου τῆς θυγατρὸς αὐτοῦ Κωνσταντίνης εἰς γυναῖκα· καὶ τῇ ιδ΄ τοῦ αὐτοῦ αὐγούστου μηνὸς τε-
R 864 λευτᾷ Τιβέριος νέος Κωνσταντῖνος ἐν προκένσῳ τοῦ Ἑβδόμου· καὶ ἐνεχθέντος τοῦ λειψάνου αὐτοῦ πλοΐ ἐν Κωνσταντινουπόλει,
P 377 τῇ ἑξῆς ἡμέρᾳ ἐκηδεύθη καὶ ἀπετέθη τὸ σῶμα αὐτοῦ εἰς τοὺς ἁγίους Ἀποστόλους.

Εἶτα ἐβασίλευσε Μαυρίκιος ἔτη κ΄. ὁμοῦ ,ςρια΄.

Ἰνδ. α΄. α΄. ἐνιαυτὸς ἀνύπατος. καὶ ἐκ κοινοῦ δόγματος ἐγράφη, μετὰ ὑπατείαν Τιβερίου Κωνσταντίνου τοῦ τῆς θείας λήξεως ἔτους δ΄.

2. 3. 5. β΄. γ΄. δ΄.] α΄. β΄. γ΄. R. ib. μετὰ om. P. 3. *Κωνσταντίνου Αὐγούστου* R. 7. ἔτει τετάρτῳ P. 12. αὐτοῦ om. P. 14 πλοεῖ RV. ib. ἐν om. R. 18. α΄] α΄ πρῶτος P sola.

Anni a m. c. *CCCXL. Olympias.*

580. II. Ind. XIII. Tiberio Novo Constantino Cons. 4.
581. III. Ind. XIV. Post Cons. Tiberii Novi Constantini II. solius. 1. 340
582. IV. Ind. XV. Post Cons. Tiberii Novi Constantini III. solius. 2.

Hoc anno IV. illius Monarchiae, aegrotavit Tiberius Caesar, et V. Augusti mensis praesentis Indictionis, creatus est Caesar Mauricius Tiberius: ac XIII. ejusdem mensis Augusti coronatus est Imperator, data illi a Tiberio Novo Constantino ipsius filia Constantina: et XIV. ejusdem mensis Augusti die moritur Tiberius Novus Constantinus in suburbano Hebdomi: ejusque funere navigio Constantinopolim delato, postero die celebratae sunt exequiae, illiusque corpus in aede Sanctorum Apostolorum depositum est.

A. C. [Ol. Iph.]

Deinde imperavit Mauricius annos XX. Colliguntur anni VI. MCXI.

6091. 583. I. Ind. I. Primus annus Consulibus caruit: et ex communi sententia scriptum est, *Post Consulatum Tiberii Constantini divae memoriae anno IV.*

τμα' Ὀλυμπιάς.

Ἰνδ. β'. β'. ὑπ. Μαυρικίου Αὐγούστου τὸ α' μόνου.

Ἰνδ. γ'. γ'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγούστου μόνου. B

Ἰνδ. δ'. δ'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγούστου τὸ β' μόνου.

Ἰνδ. ε'. ε'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγούστου τὸ γ' μόνου.

τμβ' Ὀλυμπιάς.

Ἰνδ. ϛ'. ϛ'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγούστου τὸ δ' μόνου.

Ἰνδ. ζ'. ζ'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγούστου τὸ ε' μόνου.

Ἰνδ. η'. η'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγούστου τὸ ϛ'. C

Τούτῳ τῷ ἐνιαυτῷ τῇ πασχαλίᾳ ἑορτῇ Μαυρίκιος Τιβέριος ἔστεψε Θεοδόσιον τὸν ἴδιον υἱὸν εἰς βασιλέα. οὐ μέντοι ἐτάγη εἰς συμβόλαια ἢ ἄλλο τι ἐπράχθη ἐπ' αὐτῷ τῶν εἰς γνώρισμα βασιλέως, ἀλλ' ἢ μόνον ἐστέφθη.

Ἰνδ. θ'. θ'. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ζ'.

Τούτῳ τῷ ἐνιαυτῷ Χοσρόης ὁ Περσῶν βασιλεὺς ἦλθε πρὸς Ῥωμαίους, ἀνταρσίαν ὑπομείνας ἀπὸ Βαρὰμ τοῦ αὐτῷ συμφυλέτου· καὶ διὰ συμμαχίας Ῥωμαϊκῆς ἀπεκατέστη εἰς τὴν ἑαυτοῦ D βασιλείαν.

2. μετὰ ὑπ. P. ib. Μαυρικίου Τιβερίου P. 12. μόνου om. R. 13. ϛ' μόνου P sola. 20. αὐτὸ V, αὐτοῦ P.

CCCXLI. Olympias.

584. II. Ind. II. Post Cons. Mauricii Tiberii Augusti I. solius. 3.
585. III. Ind. III. Post Cons. Mauricii Tiberii Augusti solius. 4.
586. IV. Ind. IV. Post Cons. Mauricii Tiberii Augusti II. solius. 1. 341.
587. V. Ind. V. Post Cons. Mauricii Tiberii Augusti III. solius. 2.

CCCXLII. Olympias.

588. VI. Ind. VI. Post Cons. Mauricii Tiberii Augusti IV. solius. 3.
589. VII. Ind. VII. Post Cons. Mauricii Tiberii Augusti V. solius. 1. 342.
590. VIII. Ind. VIII. Post Cons. Mauricii Tiberii Augusti VI solius. 2.

Hoc anno, festo Paschatis, Mauricius Tiberius coronavit filium suum Theodosium in Imperatorem. Neque tamen illius appositum nomen in publicis commentariis, vel quidpiam in eo actum, quo dignosci solent Imperatores, sed est duntaxat corona donatus,

591. IX. Ind. IX. Post Cons. Mauricii Tiberii Augusti VII. 3.

Hoc anno, Chosdroes Persarum Rex, Varamo ejus contribuli in eum rebellante, ad Romanos confugit, iisdemque auxiliantibus in regnum suum est restitutus.

τμγʹ Ὀλυμπιάς.

Ἰνδ. ιʹ. ιʹ. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ηʹ.

Τούτῳ τῷ ἐνιαυτῷ Ἀναστάσιος πατριάρχης Ἀντιοχείας
V 801 ἐπανῆλθεν ἐν Ἀντιοχείᾳ μετὰ τελευτὴν Γρηγορίου, πατριάρχου γενομένου, τοῦ καὶ διαδεξαμένου πρὸ τούτου τὸν αὐτὸν Ἀναστάσιον.

Ἰνδ. ιαʹ. ιαʹ. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ θʹ.

P 878 Ἰνδ. ιβʹ. ιβʹ. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγούστου τὸ ιʹ.

R 866 Τῆς ἐν Κωνσταντινουπόλει ἁγιωτάτης ἐκκλησίας Κυριακός, πρεσβύτερος καὶ οἰκονόμος τῆς αὐτῆς ἐκκλησίας, ἡγεῖται ἔτη ιβʹ.

Ἰνδ. ιγʹ. ιγʹ. μετὰ ὑπ. Μαυρικίου Τιβερίου Αὐγούστου τὸ ιαʹ.

τμδʹ Ὀλυμπιάς.

Ἰνδ. ιδʹ. ιδʹ. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ιβʹ.

B Ἰνδ. ιεʹ. ιεʹ. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ιγʹ.

Ἰνδ. αʹ. ιϛʹ. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ιδʹ.

Ἰνδ. βʹ. ιζʹ. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ιεʹ.

τμεʹ Ὀλυμπιάς.

Ἰνδ. γʹ. ιηʹ. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ιϛʹ.

3. ἐνιαυτῷ] ἔτει P. 7. Τιβερίου Αὐγούστου P. 10. οἰκονόμενος V.

CCCXLIII. *Olympias.*

Anni a m. c. 592. x. Ind. x. Post Cons. Mauricii Tiberii VIII. 4.
6102. Hoc anno, Anastasius Antiochiae Patriarcha, post mortem Gregorii, qui Patriarcha extiterat, et antea eundem Anastasium expulerat, Antiochiam reversus est.

593. xi. Ind. xi. Post Cons. Mauricii Tiberii Augusti IX. 1. 343.
A. C. [Ol. Iph.]
594. xii. Ind. xii. Post Cons. Mauricii Tiberii Augusti X. 2.
Sanctissimae Constantinopolitanae Ecclesiae Patriarcha Cyriacus, Presbyter et Oeconomus ejusdem Ecclesiae, praefuit annis xii.

595. xiii. Ind. xiii. Post Cons. Mauricii Tiberii Augusti XI. 3.

CCCXLIV. *Olympias.*

596. xiv. Ind. xiv. Post Cons. Mauricii Tiberii XII. 4.
597. xv. Ind. xv. Post Cons. Mauricii Tiberii XIII. 1. 344.
598. xvi. Ind. i. Post Cons. Mauricii Tiberii XIV. 2.
599. xvii. Ind. ii. Post Cons. Mauricii Tiberii XV. 3.

CCCXLV. *Olympias.*

600. xviii. Ind. iii. Post Cons. Mauricii Tiberii XVI. 4.

Ἰνδ. δʹ. ιθʹ. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ιζʹ.

Ἰνδ. εʹ. κʹ. μετὰ ὑπ. Μαυρικίου Τιβερίου τὸ ιηʹ. C

Τούτῳ τῷ ἐνιαυτῷ μηνὶ φεβρουαρίῳ γέγονεν ὁ γάμος Θεοδοσίου τοῦ υἱοῦ Μαυρικίου ἐπὶ ἡμέρας ἑπτά, ἀπὸ θʹ καὶ αὐτῆς ἕως ιεʹ τοῦ αὐτοῦ φεβρουαρίου μηνός. καὶ τῇ ςʹ τοῦ ἰουλίου μηνὸς τῆς αὐτῆς εʹ ἰνδικτιῶνος ἠδίκτου προτεθέντος ἐγράφη τῷ λοιπῷ μέρει τοῦ χρόνου τοῦ μέχρι δηλονότι ἰανουαρίου τῆς ἕκτης ἰνδικτιῶνος οὕτως· καὶ ὑπατείας τοῦ αὐτοῦ εὐσεβεστάτου ἡμῶν δεσπότου τὸ δεύτερον. καὶ τῷ νοεμβρίῳ μηνὶ τῆς αὐτῆς ςʹ ἰνδικτιῶνος ἐπανάστασις γέγονε Μαυρικίῳ παρὰ Φωκᾶ στρατιώτου μετὰ τοῦ στρατοῦ. καὶ Μαυρίκιος μὲν Τιβέριος σὺν τῇ γυναικὶ Κωνσταντίνῃ καὶ παισὶν θʹ, τουτέστιν ςʹ μὲν ἄῤῥεσι, Θεοδοσίῳ, Τιβερίῳ, Πέτρῳ, Παύλῳ, Ἰουστίνῳ καὶ Ἰουστινιανῷ, καὶ τρισὶ θηλείαις, Ἀναστασίᾳ, Θεοκτίστῃ καὶ Κλεοπάτρᾳ, φεύγει τῇ κβʹ τοῦ δίου μηνός, κατὰ Ῥωμαίους νοεμβρίου, τῇ νυκτὶ τῇ ἐπὶ κγʹ διαφαούσης παρασκευῆς. Φωκᾶς δὲ τῇ κγʹ τοῦ αὐτοῦ μηνὸς ἡμέρᾳ ςʹ στεφθεὶς ὑπὸ Κυριακοῦ πατριάρχου Κωνσταντινουπόλεως εἰς τὸν σεβάσμιον οἶκον τοῦ ἁγίου Ἰωάννου ἐν τῷ Ἑβδόμῳ τῇ κεʹ τοῦ ῥηθέντος μηνός, ἡμέρᾳ κυριακῇ, εἰσῆλθεν ἐν Κωνσταντινουπόλει, καθεσθεὶς εἰς ὄχημα, ἀπὸ τοῦ Ἑβδόμου εἰσελθὼν διὰ τῆς Χρυσῆς πόρτας καὶ τῶν Τρωαδησίων ἐμβόλων καὶ τῆς μέσης ὅλης ἕως τοῦ παλατίου, μηδενὸς ὅλως ἀντιστάντος, ἀλλὰ πάντων εὐφημούντων.

D (margin, at line 11) P 379 (margin, at line 21)

9. ςʹ om. P. 15. φεύγων P.

601. xix. Ind. iv. Post Cons. Mauricii Tiberii XVII. 1. 345.
602. xx. Ind. v. Post Cons. Mauricii Tiberii XVIII. 3.

Hoc anno, mense Februario, solemnia nuptiarum Theodosii filii Mauricii per vii. dies peracta sunt, ab xi. scilicet die, ad xv. ejusdem mensis Februarii. Sexto deinde Julii mensis die ejusdem v. Indictionis, proposito edicto, scriptum est reliqua parte anni, nempe usque ad Januarium vi. Indictionis, sic: *Et Consulatu ejusdem piissimi Domini nostri secundo.* Et Novembri mense ejusdem Indictionis, Focas miles una cum exercitu in Mauricium tyrannidem arripuit: ac Mauricius Tiberius cum uxore Constantina, et novem liberis, sex masculis, nempe Theodosio, Tiberio, Petro, Paulo, Justino, et Justiniano: et tribus filiabus, Anastasia, Theoctiste, et Cleopatra, fugit xxii. mensis Dii, secundum Romanos Novembris, noctu, illucescente jam xxiii. die feriae sextae. Focas autem xxiii. ejusdem mensis, feria vi. coronatur a Cyriaco Patriarcha Constantinopolitano in veneranda aede Sancti Joannis in Hebdomo. Die vero xxv. praedicti mensis, qui in Dominicam incidit, ab Hebdomo per Portam Auream, et Porticus Troadenses, et per totam Mediam plateam, obstante nemine, imo cunctis fausta apprecantibus, curru vectus Constantinopolim ingressus est.

R 868 Ἐκρατήθη δὲ Μαυρίκιος Τιβέριος μετὰ τῆς γυναικὸς καὶ ὀκτὼ τέκνων αὐτοῦ εἰς τὸν ἅγιον Αὐτόνομον, πλησίον Πραινέτου· καὶ τῇ κζ' τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ τρίτῃ, ἐσφάγη πλησίον Χαλκηδόνος αὐτὸς Μαυρίκιος καὶ Τιβέριος καὶ Πέτρος, Ἰουστῖ-
V 302 νος καὶ Ἰουστινιανός, καὶ Πέτρος δὲ ὁ ἀδελφὸς Μαυρικίου, κουροπαλάτης ὤν, συσχεθεὶς καὶ αὐτὸς ἐσφάγη, καὶ ἄλλοι δὲ συνεσχέθησαν ἄρχοντες. ἐσφάγησαν δὲ εἰς Διαδρόμους πλησίον
B τοῦ Ἀκρίτα Κωνσταντῖνος ὁ Λάρδυς, ἀπὸ ἐπάρχων γενόμενος πραιτωρίων καὶ λογοθέτης καὶ κουράτωρ τῶν Ὁρμίσδου, καὶ Θεοδόσιος ὁ υἱὸς Μαυρικίου, καὶ Κομεντίολος ὁ πατρίκιος καὶ στρατηλάτης καὶ αὐτὸς ἐσφάγη πέραν πλησίον τοῦ ἁγίου Κόνωνος πρὸς θάλασσαν, καὶ τὸ σῶμα αὐτοῦ ἐγένετο κυνόβρωτον.

Καὶ ἀπὸ κε' τοῦ αὐτοῦ νοεμβρίου μηνὸς εἰς τὸν λοιπὸν χρόνον, τὸν μέχρι δηλονότι ἰανουαρίου μηνὸς τῆς παρούσης ς' ἰνδικτιῶνος, ἐγράφη ἐν τοῖς συμβολαίοις, βασιλείας Φωκᾶ ἔτους α'. ἐβασίλευσεν δὲ ὁ αὐτὸς Φωκᾶς ἔτη η'. ὁμοῦ ,ςριθ'.

4. Μαυρίκιος Τιβέριος P. 6. ἐσφάγη — 7. ἄρχοντες om. P. 8. Λάρδις P. 13. μηνὸς νοεμβρίου P. 16. Post ,ςριθ' addit P quae V in margine ab alia manu: Περὶ τεράτων, ἐκ τοῦ μεγάλου χρονογράφου (de quo conf. annot. ad p. 336. B). Μαυρίκιος ὁ βασιλεὺς τῷ στρατηγῷ Κομεντιόλῳ (στρατῷ Κομεντιόλου R) ὑπέθετο τὸ Ῥωμαϊκὸν στράτευμα παραδοῦναι πολεμίοις δι' ἀταξίας αὐτῶν. ὅστις νυκτὸς μεσούσης τοῦτο ἐποίησε, καὶ κελεύει τὸν στρατὸν ὁπλίσασθαι, μὴ παραγυμνώσας τοῖς ὄχλοις μέλλειν συστήσασθαι πόλεμον. αὐτοὶ δὲ ὑπειληφότες ὅτι (ὅτι in V non satis apparet) τοῦ

Comprehensus est autem Mauricius Tiberius cum uxore et octo liberis versus Sanctum Autonomum juxta Praenetum: et XXVII. ejusdem mensis die, feria III. interfectus est juxta Chalcedonem idem Mauricius Tiberius, una cum Petro, Justino, et Justiniano: Petrus etiam Curopalata, Mauricii frater, qui pariter captus fuerat. Interfecti perinde ad Diadromos juxta Acritam Constantinus Lardis Ex-Praefecto Praetorio et Logotheta et Curator Palatii Hormisdae, et Theodosius Mauricii filius. Ipse etiam Commentiolus Patricius et Magister militum caesus est trans urbem juxta aedem sacram Sancti Cononis, versus mare, illiusque corpus canibus vorandum est expositum.

Et a die XXV. ejusdem mensis in reliquum annum, scilicet usque ad mensem Januarium praesentis VI. Indictionis, adscriptum est in publicis commentariis, *Imperii Focae anno primo*. Imperavit vero idem Focas annos VIII. Collig. anni VI. MCXIX.

*) DE PRODIGIIS, EX MAGNO CHRONOGRAPHO.

Mauricius Imperator dedit in mandatis Duci Commentiolo ut Romanum exercitum hostibus proderet, propter crebras illius seditiones: idque ille sub mediam noctem aggressus, imperavit ut milites arma sumerent, nec iis significavit fore ut cum hoste confligerent. Ii rati exercitationis

Ἰνδ. ς'. α'. ὑπ. Φωκᾶ Αὐγούστου μόνου. P 380 R 870

Τούτῳ τῷ ἔτει Κωνσταντῖνα ἡ ἀπὸ βασιλισσῶν ἐβλήθη ἐν μοναστηρίῳ. καὶ γεγόνασι κληρικοὶ Φιλιππικὸς ὁ πατρίκιος καὶ κόμης ἐξκουβιτόρων καὶ Γερμανὸς ὁ πατρίκιος, πενθερὸς γενόμενος Θεοδοσίου τοῦ υἱοῦ Μαυρικίου. εἶτα στάσεως δημοτικῆς γενομένης ἐκαύθη ἡ μέση ἀπὸ τῶν Λαύσου καὶ τὸ πραιτῶριν τοῦ ἐπάρχου τῆς πόλεως ἕως τῆς Ἄρκας ἄντικρυ τοῦ φόρου B *Κωνσταντίνου τοῦ τῆς θείας λήξεως, ὄντος ἐπάρχου πόλεως Λεοντίου τοῦ ἀπὸ κουρατόρων τῶν Ἀντιόχου. ἐκαύθη δὲ εἰς τὴν μέσην μεταξὺ τοῦ πραιτωρίου τοῦ ἐπάρχου τῆς πόλεως καὶ τοῦ*

γυμνασίου ἕνεκεν σιδηροφορεῖν αὐτοῖς ἐκέλευσεν, οὐ πρὸς πόλεμον, ὡς ἔδει, ὁπλίσαντες (*ὥπλισαν ἑαυτοὺς* m. R, *ὡπλίσαντο* m. P). *ὅθεν καὶ ἡμέρας γενομένης θόρυβος τὸν στρατὸν κατέλαβεν, καὶ τοῦ στρατοῦ τὰς τάξεις ταράσσοντες οἱ βάρβαροι ἀστρατήγητον τὸν λαὸν εὑρόντες τοὺς μὲν ἀνηλεῶς κατέσφαξαν, τοὺς δὲ ἀνδραποδώδεις καὶ πολλοὺς αἰχμαλώτους τῆς Θρᾴκης ἐποιήσαντο εἶτα τοὺς αἰχμαλώτους ἀναλαβὼν ὁ βάρβαρος Χαγάνος τῷ βασιλεῖ ἐδίδου λύτρον ὑπὲρ αὐτῶν κατὰ ψυχῆς νόμισμα αἰτήσας. ὁ δὲ μνησικακῶν τῷ ἰδίῳ στρατῷ δοῦναι οὐκ ἠνέσχετο. καὶ πάλιν ὁ Χαγάνος ᾐτήσατο αὐτὸν* (*τὸ ἥμισυ* addit P) *νόμισμα* (*ἀντὶ* addit m. R) *ἑκάστης ψυχῆς λαβεῖν. τοῦ δὲ μηδὲ τέσσαρα κεράτια λαβεῖν τοὺς αἰχμαλώτους ἀπολογησαμένου, θυμωθεὶς ὁ Χαγάνος πάντας ἀπέκτεινεν· φόρους ἐπέθετο τοῖς Ῥωμαίοις χιλιάδας ν'. καὶ ὑπὲρ τοῦ τοιούτου ἀνοσιουργήματος ὑπέσχε δίκην σφαγῆς, ἐῤῥηγμένος σὺν γυναιξὶ* (*τε* addit P) *καὶ τέκνοις καὶ τοῖς προσήκουσιν.* 6. *πραιτώριον* P. 10. *μεταξὺ*] *τάξιν* P.

603. I. Ind. VI. Foca Augusto solo Cos. 3. Anni a m. c.
Hoc anno Constantina Ex-Imperatrice in monasterium trusa est. 6111.
Philippicus Patricius et Comes Excubitorum, et Germanus Patricius, Theodosii, Mauricii filii, socer, in Clericos sunt attonsi. Seditione deinde populari mota, conflagravit Media urbis platea a Palatio Lausi, et Praetorium Praefecti Urbi, usque ad Arcam, e regione Fori Constantini divae memoriae, cum esset Praefectus Urbi Leontius Ex-Curatore Palatii Antiochi. Igne etiam consumptus est inter Praetorii Praefecti Urbi et

causa arma esse imperata, non vero ad praelium ineundum, minime ut res exigebat se armarunt. Unde appetente die, tumultus et pavor exercitum occupavit. Barbari autem turbatis ordinibus milites absque duce nacti, alios crudeliter mactarunt, alios in servitutem, multos denique ex Thracia in captivitatem abduxerunt. Chaganus barbarus receptis captivis, hos Imperatori reddendos obtulit, si in singula capita aureum vellet exsolvere. At Imperator iratus suis militibus, id negavit. Rursum Chaganus in singula capita dimidium duntaxat aureum exegit. Imperatore vero ne quatuor quidem ceratiis captivos redempturum se respondente, ira succensus Chaganus omnes occidit, et Romanis tributum quinquaginta millium aureorum imposuit. Hujus igitur inhumani impiique facinoris causa imperator poenas dedit, cum uxore, liberis, et propinquis interemptus.

φόρου ὁ διοικητὴς τοῦ Πρασίνου μέρους Ἰωάννης ὁ ἐπίκλην Κροῦκις.

τμς' Ὀλυμπιάς.

Ἰνδ. ζ'. β'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου.

V 303 *Ἰνδ. η'. γ'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ α'.*

Τούτῳ τῷ ἔτει μηνὶ δαισίῳ, κατὰ Ῥωμαίους ἰουνίῳ, ἡ-
C *μέρᾳ ζ' ἀποτέμνεται Θεόδωρος ὁ ἔπαρχος πραιτωρίων, Ἰωάννης ἀντιγραφεύς, Ῥωμανὸς σχολαστικός, Θεοδόσιος σουβαδιουβᾶ τοῦ μαγίστρου, Πατρίκις ἰλλούστριος, ἀνεψιὸς Δομνιζόλου κουράτορος γενομένου τῶν Ὁρμίσδου, Ἰωάννης καὶ Τζίττας σπαθάριοι καὶ κανδιδᾶτοι, Ἀθανάσιος κόμης λαργιτιώνων, Ἀνδρίας ἰλλούστριος ὁ ἐπίκλην τοῦ Σκόμβρου, καὶ Ἐλπίδις ἰλλούστριος. οὗτος ἐγλωσσοτομήθη, καὶ ἐπήρθη αὐτοῦ τὰ δ' ἄκρα, καὶ εἰς κραβατταρίαν ἐπόμπευσεν καὶ κατηνέχθη πρὸς θάλασσαν· καὶ ἐξορυχθέντων τῶν ὀφθαλμῶν αὐτοῦ βληθεὶς εἰς κάραβον ἐκαύθη. οἱ δὲ ἄλλοι οἱ προδηλούμενοι ἀπετμήθησαν, ὡς εὑρεθέντες ἐπί-*
D *βουλοι τοῦ βασιλέως Φωκᾶ.*

Κατὰ τὸν αὐτὸν δὲ χρόνον καὶ Κωνσταντῖνα ἡ ἀπὸ βασιλισσῶν ἀπετμήθη πέραν εἰς τὸν μῶλον τῶν Εὐτροπίου, πλησίον Χαλκηδόνος, καὶ τὰ ὑπολειφθέντα αὐτῆς τε καὶ Μαυρικίου θή-

8. ὁ σουβ. P. 9. *Πατρίκιος* P. ib. *Δομνιζόλου* P. 10. Τζίτας σπαθάριος P. 12. Ἐλπίδιος P. 16. εὑρηθέντες P. 18. δὲ om. P. 19. μῶλον τὸν P. 20. ὑπολειφθέντα PV.

Fori spatium, Joannes, cognomento Crucis, Dioecetes Factionis Prasinae.

CCCXLVI. Olympias.

604. II. Ind. VII. Post Cons. Focae Augusti. 4.
605. III. Ind. VIII. Post Cons. Focae Augusti I. 1. 346.

Hoc anno, mense Desio, secundum Romanos, Junio, die VII. capite plectitur Theodorus Praefectus Praetorio, Joannes Magister Scriniorum, Romanus Scholasticus, Theodosius Subadjuva Magistri, Patricius Illustris, consobrinus Domnizoli Curatoris Palatii Hormisdae, Joannes, et Tzitas Spatharius, et Candidati, Athanasius Comes Largitionum, Andreas Illustris cognomento Scombrus, et Elpidius Illustris. Huic exsecta est lingua, et quatuor extremis corporis patribus in lectulum sublatis, ad spectaculum circumductus, et ad mare relatus, ibique effossis oculis, in naviculam conjectus, concrematus est. Aliis vero supra memoratis capita sunt amputata, cum deprehensi essent conspirasse in Imperatorem Focam.

Eadem tempestate, Ex-Imperatrice Constantina trans urbem in Porta Eutropii ad Chalcedonem capite plexa est, ut et qui supererant illius et

λεα τέκνα, Ἀναστασία, Θεοκτίστη καὶ Κλεοπάτρα, καὶ αὐτὰ ἀνῃρέθη μετὰ τῆς θυγατρὸς Γερμανοῦ τῆς γενομένης γαμετῆς Θεοδοσίου, καὶ αὐτὸς δὲ Γερμανὸς μετ' αὐτῶν ἀνῃρέθη.

Ἰνδ. θ'. δ'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ β'. R 372

Τούτῳ τῷ ἔτει τελευτᾷ Κυριακὸς πατριάρχης Κωνσταντινουπόλεως μηνὶ ὑπερβερεταίῳ, κατὰ Ῥωμαίους ὀκτωβρίῳ, κθ', ἡμέρᾳ ζ'. καὶ κηδεύεται τῇ τριακοστῇ τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ πρώτῃ, καὶ ἀπετέθη τὸ αὐτοῦ λείψανον πρὸς συνήθειαν εἰς τοὺς ἁγίους Ἀποστόλους. P 381

Ἰνδ. ι'. ε'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ γ'.

Τούτῳ τῷ ἔτει μηνὶ αὐδυναίῳ, κατὰ Ῥωμαίους ἰανουαρίῳ, κγ', γέγονε πατριάρχης ἐν Κωνσταντινουπόλει Θωμᾶς ἀπὸ διακόνων τῆς μεγάλης ἐκκλησίας καὶ σακελλάριος τοῦ πατριάρχου καὶ ἐπάνω τῶν χειροτονιῶν.

τμζ' Ὀλυμπιάς. B

Ἰνδ. ια'. ς'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ δ'.

Ἰνδ. ιβ'. ζ'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ ε'.

Ἐντεῦθέν ἐστιν ἑλεῖν ὡς ἀφ' οὗπερ ὁ τρισμακάριος Κωνσταντῖνος ἐτελεύτησεν τὸν βίον μέχρι τῆς κβ' τοῦ μαΐου μηνὸς τῆς ἐνεστώσης ιβ' ἐπινεμήσεως καὶ τοῦ ζ' ἔτους τῆς Φωκᾶ βασιλείας πληροῦνται χρόνοι σοβ', ἄρχεται δὲ τὸ σογ' ἀπὸ κβ' τοῦ

11. κγ' ἰανουαρίου P. 21. δὲ om. P.

Mauricii liberi sequioris sexus, Anastasia, Theoctista, et Cleopatra: eaeque cum Germani filia, Theodosii uxore sublatae: ipseque Germanus una cum illis sublatus est. Anni am. c.

606. IV. Ind. IX. Post Cons. Focae Augusti II. 2. 6114.
A. C. [Ol. Iph.]

Hoc anno, Cyriacus Patriarcha Constantinopolitanus moritur mense Hyperberetaeo, secundum Romanos, Octobri, die XXIX. feria VII. illiusque funus curatum est XXX. ejusdem mensis, feria I. et depositum est corpus illius juxta morem receptum in aede Sanctorum Apostolorum.

607. V. Ind. X. Post Consulatum Focae Augusti III. 3.

Hoc anno, mense Audynaeo, secundum Romanos XXIII. Januarii, dictus est Patriarcha Constantinopolitanus Thomas Ex-Diacono magnae Ecclesiae, et Sacellarius Patriarchae, ac Ordinationibus Praepositus.

CCCXLVII. Olympias.

608. VI. Ind. XI. Post Cons. Focae Augusti IV. 4.
609. VII. Ind. XII. Post Cons. Focae Augusti V. 1. 347.

Hinc licet colligere, quod ex quo terbeatus Constantinus vitam finiit, usque ad XXII. Maii mensis praesentis Indictionis XII. et VII. annum Focae imperii, absolvuntur anni CCLXXII. incipit vero annus CCLXXIII. a XXII.

μαΐου μηνός, ἰνδικτιῶνος ιβ′. εἰ γὰρ ἡ πεντηκοστὴ κατὰ τὴν κβ′
C γέγονε τοῦ μαΐου μηνὸς ἐν ἐκείνῳ τῷ χρόνῳ, ἀναντιῤῥήτως ἡ
ἀναστάσιμος τῇ τρίτῃ γέγονε τοῦ ἀπριλίου μηνός, ὥστε τὴν
πρώτην ἐκείνου τοῦ ἀπριλίου ἐν παρασκευῇ εἰσελθεῖν. πρόσθες
οὖν τοῖς σοβ′ τὸ τέταρτον, τουτέστιν ξη′, καὶ γίνονται τμ′.
ταῦτα ἀνάλυσον ἀπὸ τῶν ζ′, καὶ περιττεύουσι δ′. ἐπεὶ οὖν ἐν
παρασκευῇ τότε ὁ ἀπρίλιος εἰσῆλθεν, ποίησον παρασκευήν, σάβ-
βατον, κυριακήν, δευτέραν, καὶ λοιπὸν τὸ σογ′ ἄρχεται εἰς
V 304 τρίτην. εὑρίσκεται ἄρα ὁ ἀπρίλιος ἐπὶ τῆς ἐνεστώσης ἡλιακῆς ιβ′
ἰνδικτιῶνος, σεληνιακῆς δὲ ιθ′, εἰσιὼν ἐν τρίτῃ τῆς ἑβδομάδος
ἡμέρᾳ, ὅπερ καὶ ἔστιν. πλὴν ἀλλὰ καὶ τῷ πασχαλίῳ καὶ τοῖς
D ὑπαταρίοις ἐντυχὼν ηὗρον τὴν ψηφοφορίαν ταύτην συνᾴδουσαν.
εἰσὶν οὖν ἀπὸ μὲν τῆς τελευτῆς Κωνσταντίνου ἕως νῦν χρόνοι
σοβ′, ἀπὸ δὲ τῆς εἰκοσαετηρίδος αὐτοῦ σπα′ πλήρεις.

Ἐγένετο δὲ καὶ τὸ πάσχα πρὸ τῶν σοβ′ ἐνιαυτῶν ἐν ἰνδι-
κτιῶνι σελήνης ιγ′, Ὀλυμπιάδος σοθ′ ἔτει δευτέρῳ, ἀπριλίου
τρίτῃ.

R 874 Ὕπατοι δὲ ἀπὸ Φηλικιανοῦ καὶ Τατιανοῦ εἰσιν σοβ′ ἕως
P 382 τοῦ πάσχα τῆς ιθ′ ἡλιακῆς ἰνδικτιῶνος τῆς νῦν ἐνισταμένης.

Τούτῳ τῷ ἔτει ἐπληρώθη ὁ σύνθετος κίων ὁ ἀνοικοδομη-
θεὶς ὑπὸ Φωκᾶ τοῦ βασιλέως μετὰ καὶ τῆς κιστέρνης κατὰ τὸ

8. ὥστε] ὡς ὅτε V, ὡς ὅτι P. 8. τὸ om. P. 10. εἰσ σιών V. ib. τῆς] τῇ P. 12. ψηφηφορίαν P. 14. κ′ετηρίδος P. 15. καὶ om. P. 16. σελήναις R.

mensis Maii Indictionis XII. Nam si Pentecoste incidit in XXII. Maii illo anno, absque ulla controversia dies Resurrectionis fuit III. die mensis Aprilis, cum in Parasceve, seu die Veneris, dies primus ejusdem mensis Aprilis contigerit. Adde igitur CCLXXII. partem quartam, hoc est LXVIII. tum prodibunt CCCXL. haec divide a VII. tum supererunt IV. Quia ergo die Parasceves Aprilis tunc ingressus est, fac (seu numera) Parasceven, Sabbatum, Dominicam, et feriam II. deinceps feria III. incipiet annus CCLXXIII. Reperitur ergo Aprilis, praesente Indictione, sive Cyclo solari XII. lunari vero XIX. feria III. hebdomadis incipere, quod et ita est. Quinetiam Paschalium et Fastos Consulares revolvens, animadverti huncce nostrum calculum cum iis consentire. Sunt igitur a morte quidem Constantini usque hodie an. CCLXXII. a XX. autem imperii illius anno, seu a Vicennalibus, CCLXXXI. anni completi.

Celebratum est autem Pascha ante annos CCLXXII. in Indictione X. luna XIII. Olympiadis CCLXXIX. anno II. die III. Aprilis.

Consules vero a Feliciano et Tatiano sunt CCLXXII. usque ad Pascha Cycli solaris XIX. praesentis Indictionis.

A. C. [Ol. Iph.]

Hoc anno, Columna ex variis lapidibus conflata, a Foca Imperatore

ἀνατολικὸν μέρος τῆς ἐκκλησίας τῶν ἁγίων μ' πλησίον τοῦ χαλκοῦ τετραπύλου.

Τούτῳ τῷ ἔτει ἀποστατοῦσιν Ἀφρικὴ καὶ Ἀλεξάνδρεια· καὶ σφάζεται ἀπὸ ἐναντίων ὁ πάπας Ἀλεξανδρείας. παύεται δὲ καὶ ὁ Ἰσάκιος ἀπὸ Ἱεροσολύμων, καὶ γίνεται ἀντ' αὐτοῦ Ζαχαρίας ἀπὸ πρεσβυτέρων καὶ σκευοφυλάκων τῆς ἐκκλησίας Κωνσταντινουπόλεως, καὶ Ἔδεσα ὑπὸ Πέρσας γίνεται.

Ἰνδ. ιγ'. η'. μετὰ ὑπ. Φωκᾶ Αὐγούστου τὸ ς'. B

Τούτῳ τῷ ἔτει, μηνὶ δύστρῳ, κατὰ Ῥωμαίους μαρτίῳ κ', ἡμέρᾳ ς', τελευτᾷ Θωμᾶς πατριάρχης Κωνσταντινουπόλεως, καὶ κηδεύεται τῇ κβ' τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ α', καὶ τῇ η' τοῦ ἀρτεμισίου μηνός, κατὰ Ῥωμαίους ἀπριλίου, τῆς αὐτῆς ιγ' ἰνδικτιῶνος τῷ μεγάλῳ σαββάτῳ γέγονε πατριάρχης Κωνσταντινουπόλεως Σέργιος διάκονος τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως καὶ πτωχοτρόφος, φροὺξ λιμένος.

Καὶ κατὰ τὸ πέρας τοῦ σεπτεμβρίου μηνὸς τῆς ιδ' ἰνδικτιῶνος ἀπηγγέλη ὡς Ἀναστάσιος πατριάρχης γενόμενος Ἀντιοχείας ὁ C ἀπὸ σχολαστικῶν ἀνῃρέθη ὑπὸ στρατιωτῶν.

Τούτῳ τῷ ἔτει μηνὶ ὑπερβερεταίῳ, κατὰ Ῥωμαίους ὀκτωβρίῳ γ', ἰνδικτιῶνος ιδ', ἡμέρᾳ ζ', ἀναφαίνονται πλοῖα ἱκανὰ κατὰ τὸ στρογγυλοῦν καστέλλιν, ἐν οἷς ἦν καὶ Ἡράκλειος ὁ υἱὸς

4. Ἀλεξανδρέων P. 7. Αἴδεσα V, Ἀίδεσα P. 12. ἀρτεμισίου] ξανθικοῦ Ducangius. 16. ἰνδικτιῶνος ιδ' ἀπήγγειλε P. 19. ὀκτωβρίων V.

absoluta est, una cum Cisterna, versus Orientalem partem Ecclesiae sanctorum XL. juxta Aereum Tetrapylum. Anni a m. c.

Hoc anno, Africa et Alexandria deficiunt: et Papa Alexandrinorum ab adversariis occiditur. Abdicatur vero Isacius Hierosolymorum Pontifex, et in ejus locum sufficitur Zacharias Ex-Presbytero et Ex-Scevophylace Ecclesiae Constantinopolitanae: et Aedessa in Persarum potestatem venit.

610. VIII. Ind. XIII. Post Cons. Focae Augusti VI. 2. 6118.

Hoc anno, mense Dystro, secundum Romanos Martio, XX. feria VI. moritur Thomas Patriarcha Constantinopolitanus, et XXII. ejusdem mensis, feria I. terrae mandatur. Et VIII. Artemisii, secundum Romanos Aprilis, ejusdem Indict. XIII. magno Sabbato, Constantinopoleos Patriarcha creatus est Sergius, Magnae Ecclesiae Constantinopolitanae Diaconus, et Ptochiorum Praefectus, Custos Portus.

Sub exitum mensis Septembris, Indict. XIV. renuntiatum est Anastasium Patriarcham Antiochenum, Ex-Scholastico a militibus fuisse interemptum.

Hoc anno, mense Hyperberetaeo, secundum Romanos Octobri, III. Indictionis XIV. feria VII. apparuere naves plurimae versus Castellum ro-

Ἡρακλείου. καὶ τότε εἰσέρχεται Φωκᾶς κατ' αὐτὴν τὴν ἡμέραν
ἀπὸ τοῦ προκέσσου τοῦ Ἑβδόμου περὶ ἑσπέραν, καὶ ἔρχεται κα-
βαλλάρις εἰς τὸ παλάτιν τῆς πόλεως. καὶ τῇ ἑξῆς ἡμέρᾳ, του-
τέστιν τῇ κυριακῇ, πλησιασάντων τῶν πλοίων τῇ πόλει, Βόνωσος,
D ὅστις τὰ πάνδεινα ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ κατ' ἐπιτροπὴν Φωκᾶ
διεπράξατο, εἰσηγήσει Θεοφάνους τοῦ τῆς ἀνασκάφου μνήμης,
τότε ὧδε ὢν ἐν τῇ πόλει, μετὰ τὸ βαλεῖν αὐτὸν πῦρ πλησίον τῶν
Καισαρίου καὶ ἀστοχῆσαι ἔφυγεν, καὶ ἐλθὼν μετὰ καράβου εἰς
R 876 τὸν Ἰουλιανοῦ λιμένα κατὰ τὰ λεγόμενα Μαύρου, στενωθεὶς ἔῤ-
ῥιψεν ἑαυτὸν εἰς τὴν θάλασσαν, καὶ λαβὼν μετὰ σπαθίου πλη-
γὴν ἀπὸ ἑνὸς ἐξκουβίτωρος, ὡς ἦν εἰς θάλασσαν, ἀπέθανεν·
καὶ ἐκβληθέντος τοῦ σκηνώματος αὐτοῦ ἐσύρη καὶ ἀπηνέχθη εἰς
τὸν Βοῦν καὶ ἐκαύθη.

P 383 V 305 Καὶ τῇ ς' τοῦ αὐτοῦ μηνός, διαφαούσης ἡμέρας β', Φῶτις
ὁ κουράτωρ τῶν Πλακιδίας καὶ Πρόβος ὁ πατρίκιος ἐπῆραν Φω-
κᾶν ἐκ τοῦ Ἀρχαγγέλου τοῦ παλατίου ὁλόγυμνον, καὶ ἀπήγαγον
διὰ τοῦ λιμένος ὡς ἐπὶ τὸν οἶκον τῶν Σοφίας, καὶ βαλόντες αὐ-
τὸν εἰς κάραβον ἔδειξαν τοῖς πλοίοις. καὶ τότε ἀποφέρουσιν αὐτὸν
πρὸς Ἡράκλειόν, καὶ ἐπαρθείσης ἀπὸ τοῦ ὤμου τῆς δεξιᾶς αὐ-
τοῦ καὶ τῆς κεφαλῆς, ἡ μὲν χεὶρ αὐτοῦ περιεπάρη σπαθίῳ, καὶ
οὕτω περιήχθη τὴν μέσην εἰσαγομένη ἀπὸ τοῦ φόρου. ἡ δὲ κε-

2. προκένσου V a correctore. 3. παλάτιον P. 5. τῇ om. P.
8. Καισαρείου V. ib. ἀποστῆσαι P. 14. Φώτιος P. 17. τὸν
Σ. PV.

tundum, in quibus erat et Heraclius, Heraclii filius. Tum Focas a secessu Hebdomi eodem ipso die sub vesperam equo venit in urbis Palatium: ac proxime sequenti, qui in Dominicam incidit, navigiis ad urbem appellentibus, Bonosus, qui in Magna Antiochia Focae jussu, ac impulsu damnandae memoriae Theophanis, atrocia facinora perpetrarat, cum tum esset Constantinopoli, immisso in urbis tractum, qui Caesarii aedibus adjacet, igne, defecit, fugamque arripuit. Ac veniens cum navicula in Portum Juliani, ad locum qui Mauri dicitur, redactus ad angustias, seipsum praecipitem dedit in mare, acceptoque ab quodam Excubitore vulnere ictus gladii in mari, ut erat, mortem oppetiit: cujus ejectum cadaver raptum tractumque est ad Bovem, ubi exustum est.

Anni a m. c. Die vi. ejusdem mensis, feria ii. illucescente, Photius Curator Domus Placidiae, et Probus Patricius raptum Focam ex Archangeli Palatio, omnibus nudatum vestibus, deduxerunt per Portum, versus Aedem Sophiae, ac in navem conjectum, ostenderunt classi: deinde ad Heraclium adduxerunt. Cujus Focae praecisa ab humero dextra, et amputato capite, ipsius quidem manus ensis infixa cuspidi, a Foro per Mediam Urbis plateam est traducta: caput autem conto seu hastae impositum

φαλὴ αὐτοῦ ἐβλήθη εἰς κοντάριν, καὶ οὕτω καὶ αὐτὴ περιήχθη· τὸ δὲ ἄλλο αὐτοῦ σῶμα ἐπὶ κοιλίαν συρόμενον ἠνέχθη ὡς ἐπὶ τὴν Χαλκῆν τοῦ Ἱππικοῦ, ὅπιθεν δὲ αὐτοῦ τοῦ σκηνώματος ἐσύρη καὶ Λεόντις ὁ Σύρος ὁ ἀπὸ σακελλαρίων, καὶ ἔτι ἐμπνέοντος αὐτοῦ δέδωκεν αὐτῷ τις μετὰ ξύλου κατὰ τὴν Χαλκῆν τοῦ Ἱππικοῦ, B καὶ τότε ἀπέθανεν, καὶ ἐπήρθη ἡ κεφαλὴ αὐτοῦ, καὶ οὕτως ἀπενεχθέντων τῶν σκηνωμάτων αὐτοῦ καὶ Φωκᾶ εἰς τὸν Βοῦν, καὶ αὐτὰ κατεκαύθη. ὁμοίως δὲ ἐκαύθη εἰς τὸν Βοῦν καὶ ὁ μαππάρις καὶ ὁ ταξεώτης τοῦ ἐπάρχου τῆς πόλεως, ὁ ἐπιλεγόμενος ἀπὸ Δαιμονιαρίων.

Καὶ περὶ ὥραν ἐνάτην αὐτῆς τῆς δευτέρας ἡμέρας ἐστέφθη Ἡράκλειος βασιλεὺς ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ὑπὸ Σεργίου πατριάρχου Κωνσταντινουπόλεως. καὶ ἐπὶ τὴν ἑξῆς ἡμέραν τρίτην ἱπποδρομίας ἀγομένης εἰσήχθη ἡ κεφαλὴ Λεοντίου τοῦ Σύρου, καὶ ἐκαύθη εἰς τὸ Ἱππικὸν μετὰ καὶ τῆς εἰκόνος Φωκᾶ, C ἥντινα εἰσῆγον ἐν τῇ ζωῇ αὐτοῦ εἰς τὸ Ἱππικὸν μετὰ κηραψίας ἀσπροφοροῦντες οἱ μάταιοι τῶν ἀνθρώπων. ἐκαύθη δὲ κατ' αὐτὸν καὶ τὸ Βένετον βάνδον.

Ἰνδ. ιδ'. α'. βασιλείας Ἡρακλείου Αὐγούστου.

Ἀπὸ ζ' καὶ αὐτῆς τοῦ ὀκτωβρίου μηνὸς τῆς παρούσης ιδ' ἰνδικτιῶνος μέχρι τρισκαιδεκάτης τοῦ ἰανουαρίου μηνὸς τῆς αὐ- D

3. ὄπισθεν P. 4. Λέων τις P. ib. πνέοντος P. 5. τις] τῆς P. 8. τὸν om. P. 11. ἐννάτην P. 14. τρίτῃ V. 19. Ἡράκλειος supra scribit P. 20. ιδ' om. P.

pariter circumductum est: corporis vero truncus per ventrem raptatus, versus Chalcen Hippodromi est delatus. Pone quem tractus est Leo Syrus Ex-Sacellario, qui cum adhuc spiraret, juxta eandem Chalcen ligno in eum a nescio quo impacto, statim interiit: illius vero caput in sublime est elatum, atque ita delata ad Bovem ipsius et Focae cadavera igne consumpta sunt. Similiter etiam combustus est ad Bovem et Mapparius et Apparitor Praefecti Urbi, cognomento a Daemonariis.

Hora porro IX. ejusdem feriae II. coronatus est Heraclius in Imperatorem a Sergio sanctissimae Magnae Ecclesiae Constantinopolitanae Patriarcha. Die vero abhinc tertio, dum Circenses celebrarentur, illatum est Leontii Syri caput, et in Hippodromo crematum: unaque cum illo Focae imago igne consumpta, quam, dum superstes esset, hominum vanissimi, vestibus induti candidis, cum accensis cereis, in circum intulerant. Combustum est pariter eodem tempore Vexillum Venetum.

A. C. [Ol. Iph.]

HERACLIUS.

611. I. Ind. XIV. Imperii Heraclii Augusti (*annus* I.). 3. 6119.

Ab ipso VII. Octobris mensis die praesentis Indictionis, usque ad XIV. Januarii mensis, ejusdem Indictionis, scriptum est in actis publicis, *Im-*

R 878 τῆς ἰνδικτιῶνος ἐγράφη ἐν τοῖς συμβολαίοις, βασιλείας Ἡρακλείου. καὶ ἀπὸ ιδ' καὶ αὐτῆς τοῦ αὐτοῦ μηνὸς ἐγράφη εἰς τὸν ἑξῆς χρόνον, τὸν μέχρι δηλονότι δεκεμβρίου πληρουμένου τῆς ιε' ἐπινεμήσεως, οὕτως· καὶ ὑπατείας τοῦ αὐτοῦ εὐσεβεστάτου ἡμῶν δεσπότου. εἰ γὰρ καὶ μὴ προῆλθεν ἐπὶ δίφρου, ἀλλ' οὖν ἐκρίθη λογισθῆναι αὐτῷ εἰς ὑπατείαν.

Τούτῳ τῷ ἔτει μηνὶ ξανθικῷ, κατὰ Ῥωμαίους ἀπριλλίου κ', ἡμέρᾳ γ', ὥραν ζ', γέγονε σεισμὸς μέγας, ὡς ἐξ ἀνάγκης πρὸ
P 384 πεντηκοστῆς τῇ κβ' τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ ε', λιτὴν γενέσθαι εἰς τὸν Κάμπον καὶ ψαλθῆναι τὸ Τρισάγιον. καὶ τῇ ζ' τοῦ ἰουλίου μηνὸς τῆς αὐτῆς ιδ' ἰνδικτιῶνος, ἡμέρᾳ δ', ὥραν η', ἐτέχθη Ἐπιφανία ἡ θυγάτηρ Ἡρακλείου καὶ Εὐδοκίας ἐν προκέσσῳ τῆς Ἱερείας.

τμη' Ὀλυμπιάς.

Ἰνδ. ιε'. β'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου.

Τούτῳ τῷ ἔτει μηνὶ ἀρτεμισίῳ, κατὰ Ῥωμαίους μαΐου γ', ἡμέρᾳ δ', ἐτέχθη εἰς τὸ προκέσσον Σοφιανῶν Ἡράκλειος νέος Κωνσταντῖνος, υἱὸς Ἡρακλείου καὶ Εὐδοκίας.

V 306 B Καὶ τῇ ιγ' τοῦ Αὐγούστου μηνὸς τῆς αὐτῆς ιε' ἰνδικτιῶνος, ἡμέρᾳ πρώτῃ, ἐτελεύτησεν εἰς τὸ προκέσσον Βλαχερνῶν Εὐδοκία ἡ Αὔγουστα ἡ καὶ Φαβία. καὶ ἐνεχθέντος τοῦ λειψάνου αὐτῆς

11. ὥρᾳ P sola. 12. Ἐπιφάνεια PV etiam infra. 21. Αὐγούστη P.

Anni a m. c. *perante Heraclio,* et a XIV. ejusdem Indictionis ipsius mensis, scriptum est in reliquum anni, usque ad Decembrem scilicet expletum XV. Indictionis, sic, *Et Consulatu ejusdem Piissimi Domini nostri.* Licet enim in sella curuli non processerit, illud tamen tempus ejus Consulatui adscribi debere aequum visum est.

Eodem anno, mense Xanthico, juxta Romanos Aprilis XX. feria III. hora VII. ingens adeo terrae motus extitit, ut ante Pentecosten die XXII. populus coactus fuerit supplicationes in campo peragere, et Trisagium psallere VII. vero Julii mensis, ejusdem XIV. Indictionis, feria IV. hora VIII. nata est Epiphania filia Heraclii et Eudociae in secessu Hieriae.

A. C. [Ol. Iph.]

CCCXLVIII. Olympias.

6120. 612. II. Ind. XV. Post Cons. Heraclii Augusti. 4.

Hoc anno, mense Artemisio, secundum Romanos, Maii III. feria IV. natus est in secessu Sophianarum Heraclius Novus Constantinus, Heraclii et Eudociae filius.

Et XIII. Augusti, XV. Indictionis, feria I. mortua est in secessu Blachernarum Eudocia Augusta, Fabia dicta, illiusque funus navigio in Ur-

πλοῦ ἐν τῷ παλατίῳ τῆς πόλεως, ἐπὶ τὴν ἑξῆς ἐκηδεύθη, καὶ ἐτάφη εἰς τοὺς Ἀποστόλους.

Καὶ τῇ δ' τοῦ ὑπερβερεταίου μηνός, κατὰ Ῥωμαίους ὀκτωβρίου μηνός, ἰνδικτιῶνος α', ἡμέρᾳ δ', ἐστέφθη τὸ παιδίον Ἐπιφανία ἡ καὶ Εὐδοκία εἰς τὸν ἅγιον Στέφανον εἰς τὸ παλάτιν. καὶ καθεσθεῖσα εἰς δίφρον, παρακολουθούντων Φιλαρέτου κουβικουλαρίου καὶ χαρτουλαρίου καὶ Συνέτου καστρησίου, ἀπῆλθε πρὸς συνήθειαν εἰς τὴν μεγάλην ἐκκλησίαν. C

Τῷ αὐτῷ ἔτει μηνὶ ἀπελλαίῳ, κατὰ Ῥωμαίους δεκεμβρίῳ ε', ἡμέρᾳ γ', γέγονε κληρικὸς Πρίσκος ὁ κόμης τῶν ἐξκουβιτώρων, καὶ ἀντ' αὐτοῦ γέγονε κόμης ἐξκουβιτώρων Νικήτας ὁ πατρίκιος.

Τούτῳ τῷ ἔτει ἐτέθη ἐπάνω τοῦ συνθετοῦ κίονος τοῦ κατ' ἀνατολὰς τῆς ἐκκλησίας τῶν ἁγίων μ' ὁ τίμιος σταυρός, ὄντος ἐπάρχου πόλεως Θεοδώρου τοῦ ἀπὸ νοταρίων τῆς βασιλικῆς.

Ἰνδ. α'. γ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ β'. R 880

Τούτῳ τῷ ἔτει μηνὶ αὐδυναίῳ, κατὰ Ῥωμαίους ἰανουαρίῳ κβ', ἡμέρᾳ δευτέρᾳ, ἐστέφθη τὸ παιδίον Ἡράκλειος νέος Κωνσταντῖνος βασιλεὺς ὑπὸ τοῦ πατρὸς αὐτοῦ Ἡρακλείου εἰς τὸ παλάτιν· καὶ εὐθέως ἀνῆλθεν εἰς τὸ Ἱπποδρόμιον, κἀκεῖ στεφθεὶς προσεκυνήθη ὑπὸ τῶν συγκλητικῶν ὡς βασιλεύς, καὶ εὐφημήθη D

1. *τὴν*] *τῆς* R, *τῇ* P. 5. *παλάτιον* P. 13. Post *ἔτει* addit *ἔτη* V, unde restitui *ἐτέθη*, quod ante *ὄντος* supplebat Raderus. 17. *ἰανουαρίου* P. 19. *παλάτιον* P, omisso *καί*.

bis Palatium illatum, postridie factis exequiis, in Aede Apostolorum conditum est. Anni a m. c.

Et IV. Hyperberetaei mensis, secundum Romanos Octobris mensis, Indictionis I. feria IV. coronata est puella Epiphania, quae et Eudocia appellata, in aede Sancti Stephani in Palatio. Et in curru sedens, stipantibus eam Philareto Cubiculario et Chartulario, et Syneto Castrensi, ut fieri solet, venit in Magnam Ecclesiam.

Hoc eodem anno, mense Apellaeo, secundum Romanos Decembri V. feria III. Priscus Comes Excubitorum Clericus est factus, et in locum ejus factus est Comes Excubitorum Nicetas Patricius.

Hoc anno supra Columnam ex variis lapidibus confectam, ad Orientem Ecclesiae Sanctorum XL. posita est veneranda crux, cum esset Praefectus Urbi Theodorus Ex-Notariis Basilicae.

613. III. Ind. I. Post Cons. Heraclii Augusti II. 1. 848. 6121.

Hoc anno, mense Audynaeo, secundum Romanos, Januarii die XXII. feria II. coronatus est puer Heraclius Novus Constantinus Imperator a patre suo in Palatio: moxque ascendit in Circum, ibique diademate redimitus, consalutatus est a Senatoribus ut Imperator, et faustis acclama-

ὑπὸ τῶν μερῶν, καὶ οὕτω σὺν τῷ πατρὶ αὐτοῦ ἐξῆλθεν εἰς τὴν μεγάλην ἐκκλησίαν, βασταζόμενος ὑπὸ Φιλαρέτου.

Καὶ ἀπ' αὐτῆς τῆς κβ' τοῦ ἰανουαρίου μηνὸς ἐπετράπη γράφεσθαι μετὰ τὸ ἐν ὀνόματι, βασιλείας τῶν θειοτάτων ἡμῶν
P 385 δεσποτῶν καὶ μεγίστων εὐεργετῶν Φλαβίου Ἡρακλείου τοῦ εὐσεβεστάτου ἔτους γ' καὶ μετὰ τὴν ὑπατείαν αὐτοῦ ἔτους β' καὶ Φλαβίου Ἡρακλείου νέου Κωνσταντίνου τοῦ θεοφυλάκτου αὐτοῦ υἱοῦ ἔτους α', τῶν αἰωνίων Αὐγούστων καὶ αὐτοκρατόρων.

Ἰνδ. β'. δ'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ γ'.

Καὶ ἀπὸ κβ' τοῦ ἰανουαρίου μηνὸς γράφεται, βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος β'.

Sabbato, circa vesperam, secundo scilicet Augusti mensis die, Chaganus Proceres ad colloquium evocavit. Et egressi sunt cum ipso collocuturi Georgius clarissimus Patricius, Theodorus clarissimus Commerciarius Glasti, Theodorus clarissimus Patricius et Logotheta, Theodorus religiosissimus Syncellus, et Athanasius clarissimus Patricius. Hi cum profecti essent, adduci praecepit Chaganus in eorum conspectum tres Persas sericeis vestibus indutos, qui ad ipsum missi fuerant a Salbará, quos sibi assidere jussit, nostris interea legatis stantibus: tum haec verba fecit, *Ecce ad me legationem miserunt Persae, tria hominum millia in subsidium mihi dare parati. Si igitur quotquot in urbe estis cum sago duntaxat ac indusio ex ea excedere velitis, pacta ac foedus cum Salbaro ineamus: amicus enim meus est, ad illumque transite, neque ulla is vos injuria afficiet. Mihi vero urbem ac fortunas vestras dimittite, nulla quippe vobis alia superest salutis expediendae via: nisi forte vos fieri pisces contingat, quo per mare evadatis, vel aves, quo evoletis in aerem. En ecce, ut illi asserunt, ipsi Persae. Sed et neque Imperator vester Per-*

ὁ στρατὸς ὑμῶν καταλαμβάνει. εἶπε δὲ αὐτῷ Γεώργιος ὁ ἐνδοξό-
τατος ὅτι οὗτοι ἐπιθέται εἰσὶν καὶ μίαν ἀλήθειαν οὐ λαλοῦσιν.
ἐπεὶ ὁ στρατὸς ἡμῶν ἐνταῦθα καταλαμβάνει, καὶ ὁ εὐσεβέστατος
ἡμῶν δεσπότης εἰς τὴν χώραν αὐτῶν ἐστιν ἐξολοθρεύων αὐτήν.
B ὁ εἷς οὖν τῶν Περσῶν διακνισθεὶς ὕβρισεν ἐπὶ τοῦ Χαγάνου τὸν
εἰρημένον ἐνδοξότατον Γεώργιον. καὶ αὐτὸς ἀνταπεκρίθη αὐτῷ
ὅτι Σύ με οὐχ ὑβρίζεις, ἀλλ' ὁ Χαγάνος. εἶπαν δὲ καὶ τοῦτο
τῷ Χαγάνῳ οἱ πρὸς αὐτὸν ἐξελθόντες ἐνδοξότατοι ἄρχοντες ὅτι
Τοσαῦτα πλήθη ἔχων βοηθείας Περσῶν δέῃ. καὶ εἶπεν ὅτι Ἐὰν
θελήσω, παρέχουσί μοι εἰς συμμαχίαν· φίλοι γάρ μού εἰσιν.
καὶ πάλιν εἶπον αὐτῷ οἱ ἄρχοντες ἡμῶν ὅτι Ἡμεῖς τὴν πόλιν οὐ-
δέποτε ἐῶμεν· ἡμεῖς γὰρ προσδοκῶντες ὅτι καίριόν τι λαλοῦμεν
C ἐξήλθαμεν πρὸς σέ. ἐὰν οὖν μὴ θέλῃς τὰ πρὸς εἰρήνην μεθ'
ἡμῶν λαλῆσαι, ἀπόλυσον ἡμᾶς. καὶ ἀπέλυσεν αὐτούς. καὶ τῇ
νυκτὶ εὐθέως τῇ ἐπὶ κυριακὴν κατὰ δημιουργίαν τοῦ ἀγαθοῦ καὶ
φιλοικτίρμονος θεοῦ περιέπεσαν αὐτοὶ οἱ Πέρσαι οἱ πρεσβεύσαντες
πρὸς τὸν Χαγάνον ἐν τῷ ἀντιπερᾶν αὐτοὺς διὰ Χαλῶν ἐπὶ Χρυ-
σόπολιν εἰς ἡμετέρους καράβους, ἐν οἷς ἦσάν τινες καὶ τῶν τοῦ
ὀρφανοτροφείου· καὶ ὁ εἷς ἐξ αὐτῶν τῶν Περσῶν ηὑρέθη βαλὼν
ἑαυτὸν εἰς καράβιν λεγόμενον σανδάλιν ἐπὶ ὄψιν καὶ ἐπάνω τὰ
V 315 καταλέκτια, καὶ οὕτως ἀντιπερῶν ἐπὶ Χρυσόπολιν. ὁ δὲ ναύτης
ὁ ὢν ἐν αὐτῷ τῷ καραβίῳ καὶ ἐλαύνων ἔνευσεν εὐφυῶς τοῖς τοῦ

13. ἐξήλθομεν P. 20. καράβην PV. 22. αὐτῷ om. R.

sidem est ingressus, neque ullus hic vester adstat exercitus. Cui gloriosissimus Georgius, *Isti*, inquit, *impostores sunt, nec quicquam veri dicunt. Noster enim hic adest exercitus, ac piissimus Princeps noster in eorum provinciis versatur, hasque devastat omnino.* Tum hisce dictis motus unus ex Persis, gloriosissimum Georgium Chagani nomine conviciis impetit. Cui ille, *Minime*, ait, *tua sunt in me convicia, sed Chagani.* Illud etiam ingesserunt Chagano, qui ad eum missi fuerant gloriosissimi Proceres: *Atqui licet tantae sint vires tuae, Persarum etiam auxilio indiges.* Tum Chaganus, *Si velim*, inquit, *ii mihi subsidio venient, amici enim mei sunt.* Rursum vero Proceres nostri dixerunt: *Nequaquam dimittemus urbem nostram: sed hic expectamus, dum tecum de his quae ad rem prudentem conducunt colloquamur: si ergo de pace nobiscum nolis agere, nos dimitte.* Hosque tum ille dimisit. Eadem porro ipsa nocte, quae Dominicam praecedit, singulari benigni ac misericordis Dei providentia, ad Chaganum missi ii legati, dum per Chelas Chrysopolim trajiciunt, in nostras naves incidunt, quae quosdam ex Orphanotrophio vehebant, unusque ex iis Persis deprehensus est se ipsum in scapham, quam Sandalin vocant, pronum in faciem abjecisse, stragulisque sese operuisse, ita Chrysopolim trajicere conatum. At nauta qui in navi erat, eamque regebat, his ad-

ὀρφανοτροφείου, καὶ ἐπανάξαντες καὶ ἐπαρόντες τὰ καταλέκτια, R 904
καὶ εὑρόντες αὐτὸν τὸν Πέρσην τέλειον ὄντα καὶ κείμενον ἐπὶ D
ὄψιν, ἔσφαξαν καὶ ἐπῆραν τὴν κεφαλὴν αὐτοῦ. τοὺς δὲ ἄλλους δύο Πέρσας εἰς ἄλλο πλοῖον ἀντιπερῶντας ἐχειρώσαντο μετὰ καὶ τοῦ ναύτου, καὶ τούτους ἔωθεν ἤγαγον εἰς τὸ τεῖχος. καὶ τοῦ μὲν ἑνὸς τῶν ζώντων κόψαντες τὰς δύο χεῖρας καὶ δήσαντες εἰς τὸν τράχηλον αὐτοῦ τὴν κεφαλὴν τοῦ σφαγέντος ἐν τῷ καράβῳ ἔπεμψαν οἱ ἡμέτεροι πρὸς τὸν Χαγάνον. τοῦ δὲ ἄλλου βληθέντος εἰς κάραβον καὶ ἀπενεχθέντος ζῶντος ἐπὶ Χαλκηδόνα, καὶ
ἐπιδειχθέντος τοῖς Πέρσαις, ὡς ἐστιν εἰς τὸν κάραβον, ἀπεκε- P 396
φάλισαν αὐτὸν οἱ ἡμέτεροι, καὶ ἔῤῥιψαν εἰς γῆν τὴν κεφαλὴν αὐτοῦ μετὰ γραμμάτων ἐχόντων οὕτως· ὅτι ὁ Χαγάνος μεθ' ἡμῶν πάκτα πεποιηκὼς ἔπεμψεν ἡμῖν τοὺς παρ' ὑμῶν πρὸς αὐτὸν σταλέντας πρεσβευτάς, καὶ τοὺς μὲν δύο ἐν τῇ πόλει ἀπεκεφαλίσαμεν, τοῦ δὲ ἄλλου ἰδοὺ ὑμεῖς ἔχετε τὴν κεφαλήν. ἀπῆλθεν δὲ αὐτῇ τῇ κυριακῇ ὁ ἐπικατάρατος Χαγάνος εἰς Χαλάς, καὶ ἔβαλεν εἰς θάλασσαν μονόξυλα ὀφείλοντα ἀπελθεῖν εἰς τὴν ἀντιπέραν καὶ ἀγαγεῖν πρὸς ἑαυτὸν τοὺς Πέρσας κατὰ τὴν ὑπόσχεσιν αὐτῶν. τούτου δὲ γνωσθέντος, τῇ ἑσπέρᾳ ἐξ ἡμῶν ἀνέπλευσαν κἂν ο' κάραβοι ἐπὶ Χαλάς, τοῦ ἀνέμου ὄντος ἐναντίου, εἰς τὸ
μὴ συγχωρῆσαι τὰ μονόξυλα ἀντιπερᾶσαι. καὶ ὑπέστρεψεν περὶ B

1. ἐπαίροντες P. Vide annot. ad Malalam p. 462. 19. 5. ἔσωθεν P. 7. καὶ τὴν P. 8. οἱ om. P. 10. ἐστιν] δὲ R. ib. τὸν om. P. 12. ὅτι γὰρ ὁ P. 19. ἡμέρᾳ P. 20. κἂν ὁ κάραβοι V, (καν) ὁ, κάραβοι R, σκαφοκάραβοι P. 21. περὶ] ἐπὶ P.

madverso, iis qui ex Orphanotrophio erant, id dextra innuit, qui confestim reductis ac sublevatis stragulis, Persam sanum ac incolumem in faciem jacentem inventum interfecerunt, illiusque caput absciderunt. Alios vero duos Persas pariter in navi trajicientes, cum ipso nauta captos, intra moenia adduxerunt: ac alterum quidem ex superstitibus, truncata prius utraque manu, ejusque collo alligata, una cum illius qui in navicula interfectus fuerat capite, ad Chaganum nostri transmisere. Alterum autem in navim conjectum, vivumque Chalcedonem deductum, ac Persis ostensum, in ipsa navi capite truncarunt, eo in continentem ejecto, cum hocce scripto: *Chaganus, initis nobiscum foederibus, vestros ad eum missos legatos ad nos transmisit, quorum duobus capita in urbe amputari jussimus: alterius vero ecce habetote caput.* Abominandus deinde Chaganus, hoc ipso die Dominico, ad Chelas abiit, et trabarias in mare demisit, quibus in oppositam regionem trajiceret, secumque Persas, secundum eorum pollicita, adduceret. Quo cognito, eadem ipsa die, quidam ex nostris, solverunt naves cum suis scaphis versus Chelas, vento licet contrario, quo trabarias a trajectu in ulteriorem ripam prohiberent. Ac sub

ἑσπέραν ὁ ἐπικατάρατος Χαγάνος εἰς τὰ περὶ τὸ τεῖχος, καὶ ἐπέμφθησαν αὐτῷ ἀπὸ τῆς πόλεως βρώσιμά τινα καὶ οἰνάρια. ἦλθεν δὲ Ἑρμίτζις ἔξαρχος τῶν Ἀβάρων εἰς τὴν πόρταν λέγων ὅτι Βαρὺ πρᾶγμα ἐποιήσατε τοὺς χθὲς μετὰ τοῦ Χαγάνου ἀριστήσαντας, ὅτι ἐφονεύσατε, καὶ πρὸς τούτοις ἐπέμψατε αὐτῷ τὴν κεφαλὴν καὶ τὸν ἄλλον ἀποκεχειρισμένον. καὶ εἶπαν ὅτι Ἡμεῖς οὐ προσέχομεν αὐτῷ. τῇ οὖν νυκτὶ δευτέρας διαφαούσης ἠδυνήθησαν αὐτῶν μονόξυλα διαλαθεῖν τὴν σχοῦλκαν ἡμῶν καὶ περᾶσαι
C *πρὸς τοὺς ἐπόντισαν καὶ κατέσφαξαν πάντας τοὺς ἐν τοῖς μονοξύλοις εὑρεθέντας Σκλάβους.*

Ἐξῆλθαν δὲ καὶ οἱ Ἀρμένιοι τὸ τεῖχος Βλαχερνῶν, καὶ ἔβαλαν πῦρ εἰς τὸν Ἔμβολον τὸν παρεκεῖ τοῦ ἁγίου Νικολάου. καὶ νομίσαντες οἱ ἐξειλήσαντες κολύμβῳ ἐκ τῶν μονοξύλων Σκλάβοι Ἀβάρους εἶναι τοὺς ἱσταμένους παρὰ θάλασσαν, ὡς ἐκ τοῦ πυρός, ἐκεῖ ἐξελθόντες ἐσφάγησαν ἀπὸ τῶν Ἀρμενίων. ἄλλοι δὲ
R 906 *ὀλίγοι Σκλᾶβοι ἐξειλήσαντες κολύμβῳ, καὶ ἐξελθόντες ἐπὶ τὸ μέρος ἔνθα ἵστατο ὁ ἄθεος Χαγάνος, ἐσφάγησαν κατ' ἐπιτροπὴν αὐτοῦ. καὶ τοῦ θεοῦ κελεύσαντος διὰ τῶν πρεσβειῶν τῆς δεσποί-*
D *νης ἡμῶν τῆς θεοτόκου, ἐν μιᾷ ῥοπῇ ἡ διὰ θαλάσσης γέγονεν αὐτῷ πτῶσις. ἐξέβαλον δὲ ὅλα τὰ μονόξυλα εἰς τὴν γῆν οἱ ἡμέτεροι, καὶ μετὰ τὸ ταῦτα γενέσθαι ὑπέστρεψεν ὁ ἐπικατάρατος*

7. *διαφανούσης* PV. *ib.* *οὐκ* addit ante *ἠδυνήθησαν* P ex coniectura Raderi et 9. *Πέρσας*, *καὶ ἡμέτεροι*, pro quo *Πέρσας*, *εἰς* addebat Raderus. 11. *ἐξῆλθον* P. 12. *ἔβαλον* P. 13. 16. *ἐξηλάσαντες* P, *ἐξηλήσαντες* V.

vesperam reversus est abominandus Chaganus proxime ad urbis muros, cui ex urbe esculenta quaedam et vina missa sunt. Veniens porro Ermitzis Avarum Exarchus ad portam, *Atrox*, inquit, *perpetrastis facinus, cum illos, qui heri cum Chagano pransi sunt, occidistis: ac praeterea ipsi unius caput, alterum vero manibus truncatum transmisistis.* Cui nostri, *Nobis*, inquiunt, *ille minime curae est.* Nocte ergo feriae secundae, sub diluculum non potuere eorum trabariae fallere nostras excubias, ac ad Persas trajicere, Sclavis omnibus qui in trabariis inventi sunt, vel in mare praecipitatis, vel a nostris interfectis.

Sed et Armenii ex Blachernarum muro egressi, ignem in Porticum, quae aedi Sancti Nicolai adjacet, immiserunt. Cumque Sclavi, qui ex trabariis in mare natandi gratia se demiserant, Avares esse, qui ad mare stationem haberent, ex igne conjicerent, huc venere, ubi ab Armeniis sunt interfecti. Pauci vero alii ex Sclavis natatu evadentes, cum ad impii Chagani castra pervenissent, illius jussu, trucidati sunt. Ac Deo postmodum ita volente, et intercessionibus Dominae nostrae Deiparae, uno momento, illius in mari accidit strages. Quippe universis trabariis

Χαγάνος εἰς τὸ φωσᾶτον αὐτοῦ, καὶ ἤγαγεν τὰ μαγγανικὰ ἀπὸ τοῦ τείχους ἃ ἦν παραστήσας καὶ τὴν σοῦδαν ἣν ἐποίησεν, καὶ ἤρξατο καταλύειν τοὺς πυργοκαστέλλους οὓς ἐποίησεν, καὶ τῇ νυκτὶ ἔκαυσεν τὸ σουδᾶτον αὐτοῦ καὶ τοὺς πυργοκαστέλλους, καὶ τὰς χελώνας ἀποβυρσώσας ἀνεχώρησεν.

Τινὲς δὲ ἔλεγον ὅτι οἱ Σχλῦβοι θεωρήσαντες τὸ γεγονὸς V 316 *ἐπῆραν καὶ ἀνεχώρησαν, καὶ διὰ τοῦτο ἠναγκάσθη καὶ ὁ κατάρατος Χαγάνος ἀναχωρῆσαι καὶ ἀκολουθῆσαι αὐτοῖς.*

Καὶ τοῦτο δὲ ἔλεγεν ὁ ἄθεος Χαγάνος τῷ καιρῷ τοῦ πολέ- P 397 *μου ὅτι ἐγὼ θεωρῶ γυναῖκα σεμνοφοροῦσαν περιτρέχουσαν εἰς τὸ τεῖχος μόνην οὖσαν. ἐδήλωσε δὲ ἐν τῷ μέλλειν αὐτὸν ἀναχωρεῖν ὅτι μὴ ὑπολάβητε ὅτι κατὰ φόβον ἀναχωρῶ, ἀλλὰ διὰ τὸ στενωθῆναί με εἰς δαπάνας καὶ μὴ ἐπιστῆναί με ὑμῖν ἐν ἐπιτηδείῳ καιρῷ. ἀπέρχομαι δὲ καὶ φροντίζω δαπανῶν, καὶ ἔρχομαι ὀφείλων ποιῆσαι ὑμῖν εἴ τι εἰργάσασθε εἰς ἐμέ. ἔμειναν δὲ τῇ παρασκευῇ νωτοφύλακες καβαλλάριοι εἰς τὰ περὶ τὸ τεῖχος, βάλλοντες αὐτῇ τῇ ἡμέρᾳ λαμπρᾷ εἰς πολλὰ προάστεια ἕως ὥρας ζ', καὶ ὑπεχώρησαν, ἔκαυσαν δὲ καὶ τὴν ἐκκλησίαν τῶν ἁγίων Κοσμᾶ* B *καὶ Δαμιανοῦ ἐν Βλαχέρναις καὶ τὴν ἐκκλησίαν τοῦ ἁγίου Νικολάου καὶ ὅλα τὰ πέριξ. εἰς μέντοι τὴν ἐκκλησίαν τῆς δεσποίνης*

7. *ἀπῆρον* P, *ἐπῆρον* R. ib. *καὶ* supra versum habet V, in m. supplet P. 9. *δὲ* om. P. 13. *δαπάνην* P, *δαπάναν* R. ib. *με* om. P. 15. *ἐργάσασθε* PV. ib. *δὲ* om. P. 18. *ἐγκαύσαντες* P. ib. *καὶ* om. P.

in terram a nostris subductis, execrandus Chaganus in sua castra reversus, reduci praecepit machinas omnes quas ante muros statuerat, fossamque quam fecerat diruit, turresque castellis instructas, quas erexerat: ac vallis, et sudibus, ipsisque turribus castellatis ac testudinibus, corio prius nudatis, incensis, recessit.

Quidam aiunt Sclavos, cum quod actum fuerat, vidissent, castris relictis recessisse, eoque et execrandum Chaganum reverti illosque sequi coactum fuisse.

A. C. [Ol. Iph.]

Sed et illud dixit impius Chaganus, dum, bellum flagraret: *Feminam ego conspicio egregie vestitam, absque ullo comitatu per moenia discurrentem.* Quinetiam cum in procinctu esset ad recedendum, haec nostris nuntiavit: *Nolite existimare prae metu me recedere, sed inopia commeatus, et quod tempore minus idoneo vos fuerim aggressus. Proficiscor igitur, annonae comparandae operam daturus, ac postmodum rediturus, ea vobis facturus quae in me perpetrastis.* Manserunt die Veneris extremi agminis custodes equites circa loca proxima moenibus, eodemque die in multa suburbana usque ad horam septimam immisso igne, recesserunt; incensis praeterea aede Sanctorum Cosmae et Damiani, et Ecclesia Sancti Nicolai, locisque circumjacentibus. Ecclesiam vero Dominae nostrae

ἡμῶν τῆς θεοτόκου καὶ τὴν ἁγίαν σορὸν εἰσελθόντες οἱ ἐχθροὶ οὐδὲν ἠδυνήθησαν παντοίως τῶν ἐκεῖσε καταβλάψαι, τοῦ θεοῦ τῇ πρεσβείᾳ τῆς ἀχράντου μητρὸς αὐτοῦ οὕτως εὐδοκήσαντος. ἐπεζήτησεν δὲ τὸν ἐνδοξότατον κομμερκιάριον εἰς τὸ διαλεχθῆναι αὐτῷ. καὶ ἐδήλωσεν αὐτῷ Βόνος ὁ πανεύφημος μάγιστρος οὕτως· ὅτι μὲν μέχρι τοῦ παρόντος ἐγὼ τὴν ἐξουσίαν εἶχον τοῦ λαλῆσαι καὶ πακτεῦσαι μετὰ σοῦ· νῦν δὲ κατέλαβεν ὁ ἀδελφὸς τοῦ εὐσεβεστάτου ἡμῶν δεσπότου μετὰ τοῦ θεοφυλάκτου στρατοῦ. καὶ
C ἰδοὺ ἀντιπεράᾳ καὶ ἐπακολουθεῖ σοι ἕως τῆς χώρας σου. κἀκεῖ λαλεῖτε μεταξὺ ἀλλήλων.

R 908 Ἰνδ. ιε΄. ιζ΄. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ις΄.

Καὶ ἀπὸ κβ΄ καὶ αὐτῆς τοῦ Ἰανουαρίου μηνὸς γράφεται, τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ιε΄.

Τούτῳ τῷ ἔτει ἐκτίσθη τὸ τεῖχος πέριξ τοῦ οἴκου τῆς δεσποίνης ἡμῶν τῆς θεοτόκου, ἔξωθεν τοῦ καλουμένου Πτεροῦ.

D Τούτῳ τῷ ἔτει μηνὶ ἀρτεμισίῳ, κατὰ Ῥωμαίους μαΐῳ, ια΄ ἐτελεύτησε Βόνος ὁ τῆς ἀοιδίμου μνήμης, γενόμενος μάγιστρος, καὶ ἀπετέθη τὸ λείψανον αὐτοῦ εἰς τὸ σεπτὸν μοναστήριον τοῦ

4. ἐπεζήτησαν P. 12. καὶ] τῆς P. 13. ἔτει R, ἔτους P. 15. Post Πτεροῦ addit P Τῷ ιε΄ ἔτει (τὸ ιε΄ ἔτος R) τῆς βασιλείας Ἡρακλείου ἐκτίσθη τὸ τεῖχος ἔξωθεν Βλαχερνῶν, καὶ ἀπεκλείσθη ἔσωθεν ὁ ναὸς τῆς παναγίας θεοτόκου, καὶ ἡ ἁγία σορός· πρώην γὰρ ἔξωθεν τοῦ τείχους ἦν (πρώην γὰρ ἔξωθεν R): *) quae in margine ab recentiori manu scripta habet V. 16. μαΐου P.

Anni a m. c. Deiparae, et in Sanctam Arcam, ingressi hostes, nihil omnino evertere vel labefactare potuerunt, Deo, intemeratae illius Matris intercessionibus, ita permittente. Expetierunt autem in illius colloquium gloriosissimum Commerciarium: quibus sic nuntiavit Bonus laudatissimus Magister: *Hactenus quidem data mihi fuit potestas ut tecum agerem, ac tractarem de pace: nunc vero piissimi nostri Domini frater una cum exercitu venit mox trajecturus, ac te in regionem tuam comitaturus, ubi invicem de pace tractabitis.*

6135. 627. XVII. Ind. XV. Post Cons. Heraclii Augusti XVI.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Heraclii Constantini anno* XV.

Hoc anno constructus est murus circa aedem Dominae nostrae Dei genitricis, extra locum Alam dictum.

Hoc ipso anno, mense Artemisio, secundum Romanos Maii XI. mortem obiit Bonus inclitae memoriae, Magistri dignitate cohonestatus, il-

*) XV. anno Heraclii imperii, excitatus est murus extra Blachernas, aedesque sanctissimae Dei Genitricis, una cum sacra Arca, intra urbem inclusa est; erat enim antea extra moenia.

ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ τὸ ἐπονομαζόμενον
τῶν Στουδίου, πλησίον τῆς Χρυσῆς Πόρτας.

τνβ' Ὀλυμπιάς.

Ἰνδ. α'. ιη'. μετὰ ὑπ. Ἡρακλείου Αὐγούστου τὸ ιζ'.

Καὶ ἀπὸ κβ' καὶ αὐτῆς τοῦ ἰανουαρίου μηνὸς γράφεται, P 398
τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου ἔτος ις'.

Τῷ ιη' ἔτει τῆς βασιλείας Ἡρακλείου καὶ μετὰ ὑπατείας
ιζ' καὶ ις' ἔτει τῆς βασιλείας Ἡρακλείου νέου Κωνσταντίνου τοῦ
αὐτοῦ υἱοῦ, τῇ ιε' τοῦ μαΐου μηνός, ἰνδικτιῶνος α', ἡμέρᾳ
πρώτῃ, αὐτῇ τῇ ἁγίᾳ Πεντηκοστῇ, ἀνεγνώσθησαν ἀποκρίσεις ἐπ'
ἄμβωνος ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, σταλεῖσαι ἐκ τῶν ἀνα-
τολικῶν μερῶν ὑπὸ Ἡρακλείου τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως,
δηλοῦσαι τὴν πτῶσιν Χοσδρόου καὶ τὴν ἀναγόρευσιν Σειρόου V 317
τοῦ Περσῶν βασιλέως, αἵτινες ἔχουσιν οὕτως.

Ἀλαλάξατε τῷ θεῷ πᾶσα ἡ γῆ, δουλεύσατε τῷ κυρίῳ ἐν B
εὐφροσύνῃ, εἰσέλθατε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει, καὶ γνῶτε
ὅτι κύριος αὐτός ἐστιν ὁ θεός. αὐτὸς ἐποίησεν ἡμᾶς καὶ οὐχ ἡμεῖς·
ἡμεῖς δὲ λαὸς αὐτοῦ ἐσμεν καὶ πρόβατα νομῆς αὐτοῦ. εἰσέλθατε
εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις καὶ ἐξομολογεῖσθε αὐτῷ. αἰνεῖτε
τὸ ὄνομα αὐτοῦ, ὅτι Χριστὸς κύριος, εἰς τὸν αἰῶνα τὸ ἔλεος
αὐτοῦ, ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ. εὐφρανθήτωσαν

3. τνβ' Ὀλυμπιάς om. R. 7. ἔτει om. P. 9. μηνης V. 10. Πεντηκοστῇ] N̄ V. 13. Χοσρόου P. 16. 18. εἰσέλθετε P. 17. ἐστὶ θεὸς P.

liusque corpus in venerabili Monasterio Sancti Joannis Praecursoris et Baptistae, quod Studii appellatur, juxta portam Auream, depositum est.

CCCLII. Olympias.

628. XVIII. Ind. I. Post Cons. Heraclii Augusti XVII.

Et ab ipso die XXII. mensis Januarii, scribitur, *Imperii Novi Constantini anno* XVI.

Anno imperii Heraclii XVIII. post Consulatum XVII. et XVI. imperii Heraclii Novi Constantini filii ejus XVI. XV. Maii mensis die, feria I. ipso Pentecostes festo, lectae sunt ex Ambone in sanctissima Magna Ecclesia literae missae ex Oriente ab Heraclio piissimo Imperatore nostro, quae Chosroae casum, et inaugurationem Siroae Persarum Regis nuntiabant, hisce verbis conceptae.

„Exultate Deo omnis terra; servite Domino in laetitia, introite in conspectu ejus in exultatione, et scitote, quoniam Dominus ipse est Deus. Ipse fecit nos, et non ipsi nos. Nos populus ejus sumus, et oves pascuae ejus. Introite in tabernacula ejus in hymnis, et confitemini illi. Laudate nomen ejus, quoniam Christus Dominus, in saeculum misericordia ejus: usque in generationem et generationem veritas ejus. Laetentur coeli, et

οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ καὶ τερφθήτω ἡ θάλασσα καὶ πάντα τὰ ἐν αὐτοῖς. καὶ πάντες οἱ χριστιανοὶ αἰνοῦντες καὶ δοξολογοῦντες εὐχαριστήσωμεν τῷ μόνῳ θεῷ, χαίροντες ἐπὶ τῷ ἁγίῳ
R 910
C αὐτοῦ ὀνόματι χαρὰν μεγάλην. ἔπεσεν γὰρ ὁ ὑπερήφανος καὶ θεομάχος Χοσρόης. ἔπεσεν καὶ ἐπτωματίσθη εἰς τὰ καταχθόνια, καὶ ἐξωλοθρεύθη ἐκ γῆς τὸ μνημόσυνον αὐτοῦ ὁ ὑπεραιρόμενος καὶ λαλήσας ἀδικίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει κατὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ καὶ τῆς ἀχράντου μητρὸς αὐτοῦ τῆς εὐλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀπώλετο ὁ ἀσεβὴς μετ' ἤχους. ἐπέστρεψεν ὁ πόνος αὐτοῦ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ ἐπὶ τὴν κορυφὴν αὐτοῦ κατέβη ἡ ἀδικία αὐτοῦ. τῇ γὰρ κδ' τοῦ παρελθόντος φεβρουαρίου μηνὸς τῆς ἐνισταμένης πρώτης ἐπινεμήσεως, τῆς ταραχῆς αὐτῷ γενομένης ὑπὸ Σειροίου τοῦ πρωτοτόκου αὐτοῦ υἱοῦ,
D καθὼς δι' ἑτέρας ἡμῶν κελεύσεως ἐσημάναμεν ὑμῖν, καὶ πάντων τῶν ἐκεῖσε Περσῶν ἀρχόντων τε καὶ στρατευμάτων μετὰ καὶ παντὸς τοῦ στρατοῦ τοῦ ἀπὸ διαφόρων τόπων συναχθέντος ἀπὸ τοῦ καταράτου Χοσδρόου συνδραμόντων τῷ μέρει Σειροίου μετὰ καὶ Γουρδανάσπα τοῦ πρὶν ἐξάρχου τοῦ Περσικοῦ στρατοῦ, ἐπετήδευσεν ἐκεῖνος ὁ θεομίσητος Χοσρόης φυγῇ χρήσασθαι, καὶ συσχεθεὶς δέσμιος ἐβλήθη ἐν τῷ νέῳ καστελλίῳ τῷ κτισθέντι παρ' αὐτοῦ ἐπὶ παραφυλακῇ τῶν παρ' αὐτοῦ συναχθέντων χρημάτων.

6. ἐκ τῆς γῆς P. 7. ὑπερηφανείᾳ PV. 18. Χοσρόου P et V a correctore.

exultet terra, et omnia quae in eis sunt. Et omnes Christiani laudantes et benedicentes gratias agamus soli Deo, gaudentes in nomine sancto ejus gaudium magnum. Cecidit enim superbus et perduellis Dei Chosroes. Cecidit, et praecipitatus est ad inferos, et deleta est de terra memoria ejus. Superbus ille et loquens iniquitatem in superbia et contemptu adversus Dominum nostrum Jesum Christum, verum Deum et intemeratam ejus matrem, benedictam Dominam nostram Dei Genitricem semperque Virginem Mariam. Periit impius cum sonitu. Conversus est labor ejus in caput ejus, et in verticem iniquitas ejus descendit. Nam xxiv. Februarii praeteriti mensis, prima Indictione, seditione in eum mota ab ipsius filio primogenito Syroe, quemadmodum in alia jussione vobis exposuimus, Persarum omnibus proceribus ac universo exercitu copiisque ex variis regionibus conductis, ab execrando Chosroe ad partes Siroae, cum Gurdanaspa Persici exercitus prius duce transeuntibus, idem Deo invisus Chosroes, dum fugam meditatur, captus vinctusque in novum castellum, ab ipsomet ad recondendas servandasque ab eo collectas pecunias extructum conjectus est."

Καὶ τῇ κε' τοῦ αὐτοῦ φεβρουαρίου μηνὸς Σειροίου στε-
φθέντος καὶ ἀναγορευθέντος βασιλέως Περσῶν, καὶ τῇ κη' τοῦ P 899
αὐτοῦ μηνός, μετὰ τὸ ποιῆσαι τὸν θεομίσητον Χοσρόην τὰς δ'
ἡμέρας σιδηροδέσμιον ἐν πάσῃ ὀδύνῃ, ἀνεῖλε τὸν αὐτὸν ἀγνώ-
μονα καὶ θεομάχον καὶ ὑπερήφανον καὶ βλάσφημον πικροτάτῳ
θανάτῳ, ἵνα γνῷ ὅτι Ἰησοῦς ὁ τεχθεὶς ἐκ Μαρίας, ὁ σταυρω-
θεὶς ὑπὸ τῶν Ἰουδαίων, καθὼς αὐτὸς ἦν γράψας, εἰς ὃν ἐβλασ-
φήμησε, θεὸς παντοδύναμός ἐστιν, καὶ ἀπέδωκεν αὐτῷ κατὰ
τὰ παρ' ἡμῶν γραφέντα αὐτῷ. καὶ ἐν τῷ μὲν βίῳ τούτῳ οὕτως
ἀπώλετο ὁ θεομάχος ἐκεῖνος. ἀπῆλθε δὲ τὴν ὁδὸν Ἰούδα τοῦ
Ἰσκαριώτου τοῦ ἀκούσαντος ἀπὸ τοῦ παντοδυνάμου ἡμῶν θεοῦ
ὅτι καλὸν ἦν τῷ ἀνθρώπῳ ἐκείνῳ μὴ γεννηθῆναι, εἰς τὸ πῦρ τὸ B
ἀκατάσβεστον τὸ ἡτοιμασμένον τῷ Σατανᾷ καὶ τοῖς ἀξίοις αὐ-
τοῦ ἀπῆλθεν.

Διὰ δὲ τῆς ἑτέρας ἡμῶν κελεύσεως τῆς γενομένης παρ'
ἡμῶν πρὸς ὑμᾶς ἀπὸ τοῦ ἀπλήκτου ἡμῶν τοῦ πλησίον τοῦ Καν-
ζάκων, τῆς περιεχούσης τὴν κίνησιν τὴν ἀπὸ τῆς ιζ' τοῦ ὀκτω- R 912
βρίου μηνὸς μέχρι τῆς ιε' τοῦ μαρτίου μηνός, ἐσημάναμεν τὸ
πῶς ὁ θεὸς καὶ ἡ δέσποινα ἡμῶν ἡ θεοτόκος συνέπραξεν ἡμῖν τε
καὶ τοῖς φιλοχρίστοις ἡμῶν ἐκστρατεύμασιν ὑπὲρ ἔννοιαν ἀνθρω-
πίνην καὶ τὸ πῶς ἔφυγεν ἐνώπιον ἡμῶν ὁ θεομίσητος καὶ ἀνά-
σκαφος Χοσρόης ἀπὸ τοῦ Δασταγερχοσὰρ ἐπὶ Κτησιφῶντα καὶ V 818
πῶς ἀπώλοντο τὰ παλάτια αὐτοῦ μετὰ πολλῶν ἐπαρχιῶν τῆς C

2. ἀνηγορευθέντος P. 8. παντοδύνατός P. 18. τὸ om. P.

„xxv. autem ejusdem mensis Februarii, Syroe coronato et Rege Persarum inaugurato, ac xxviii. ejusdem mensis, cum Deo exosus Chosroes quartum jam diem in vinculis, omnibus excruciatus doloribus, exegisset, ingratum illum et perduellem Dei, superbumque ac blasphemum Chosroen acerbissimo mortis genere Syroes sustulit, uti sciret Jesum ex Maria natum, et a Judaeis crucifixum; quemadmodum ipse scripserat, et quem convitiis incesserat, omnipotentem esse Deum, illique retribuere, prout a nobis ipsi rescriptum fuerat. Et ille quidem Dei perduellis in hac vita periit. Abiit autem per viam Judae Iscariotae, qui ab omnipotente Deo nostro audierat, *Bonum erat homini illi si natus non fuisset*. Abiit in ignem non extinguendum, paratum Satanae et aequalibus ejus.“

„In alia autem a nobis data vobis jussione, ex castris nostris ad Canzaca, quae continebant acta a xvii. Octobris usque ad xv. Martii significavimus, quo pacto Deus, et Domina nostra Deipara, nobis, Christoque dilectis copiis nostris succurrerit, et quomodo in ipso conspectu nostro Deo exosus et e tumulo refodiendus Chosroes a Dastagerchosare ad Ctesiphontem usque fugam capessierit, suaque Palatia amiserit cum

Περσικῆς πολιτείας, καὶ ὅτι διὰ τοῦ τρόπου τούτου ἠδυνήθη Σειρόης ποιήσασθαι τὴν κίνησιν κατ' αὐτοῦ. μετὰ δὲ τὸ ποιῆσαι ἡμᾶς τὴν κέλευσιν ἐκείνην καὶ στεῖλαι αὐτὴν τῇ ιε' τοῦ παρόντος μαρτίου μηνός, ἐν τῷ φροντίζειν τοῦ γνῶναι ἡμᾶς ἕνεκεν Χοσδρόου καὶ Σειροίου τὰ παρακολουθήσαντα καὶ πέμψαι ἡμᾶς ἐν διαφόροις τόποις, καὶ ἕως τοῦ Σιαρσούρων καὶ ἕως τοῦ μικροῦ Ζάβα, τοῦ Καλχάς, τοῦ Ἰεσδέμ, ἐν ἀμφοτέραις ταῖς ὁδοῖς ἔκ τε τῶν εὐτυχεστάτων ἡμῶν ἐκστρατευμάτων καὶ ἐκ τῶν Σαρακηνῶν τῶν ὄντων ὑπὸ τὴν φιλόχριστον ἡμῶν πολιτείαν, διὰ τό, ὡς εἴρηται, γνῶναι ἡμᾶς ἀκριβῶς τὰ ἐκεῖσε κινηθέντα, τῇ κδ'
D τοῦ αὐτοῦ μαρτίου μηνὸς ἤνεγκαν πρὸς ἡμᾶς εἰς τὸ ἄπληκτον ἡμῶν τὸ πλησίον τοῦ Κανζάκων οἱ τῆς σκούλκας ἕνα Πέρσην καὶ ἕνα Ἀρμένιον, οἵτινες ἐπέδωκαν ἡμῖν ὑπομνηστικὸν γενόμενον πρὸς ἡμᾶς ἀπό τινος ἀδσηκρῆτις Περσῶν, ἔχοντος ὄνομα Χοσδάη, καὶ ἀξίωμα Ῥασνᾶν, περιέχον ὅτι Σειροίου ἀναγορευθέντος βασιλέως Περσῶν ἀπέλυσεν αὐτὸν μετὰ καὶ ἄλλων ἀρχόντων πρὸς ἡμᾶς καὶ ὑπομνηστικοῦ αὐτοῦ Σειροίου γενομένου πρὸς ἡμᾶς, καὶ ὅτι καταλαβὼν εἰς τὸ Ἄρμαν συνεῖδεν τοῦ ἀπολῦσαι πρὸς ἡμᾶς τοὺς προειρημένους δύο ἄνδρας ἐπὶ τῷ πεμφθῆναί τινας τοὺς ὀφείλοντας ἀβλαβεῖς διασῶσαι αὐτὸν καὶ τοὺς μετ' αὐτοῦ. ὡς δὲ ἐγνώσθη ἡμῖν διὰ τὸ θεωρῆσαι αὐτὸν πολλὰ σκη-
P 400 νώματα Περσῶν κατὰ τὴν ὁδὸν ἀναιρεθέντα ἀπὸ τοῦ εὐτυχεστά-

2. Σειροίης P sola. 4. ἕνεκα P. ib. Χοσρόου P, eraso δ V. 7. Χαλχάς P. 9. φιλοχρίστην P. 11. ἤνεγκεν P. ib. ἄπλεκτον V. 13. ἀπέδωκαν P. 14 ἀσηκρῆτις P. 15. Ἀξιωμαρασνὰν V, Ἀξιαμαράναν P. ib. ὅτι om. V.

Regni Persici Provinciis, ac denique hac ratione commovere adversus illum seditionem Siroes potuerit. Post scriptam vero hanc nostram jussionem, eamque missam xv. die praesentis mensis Martii, dumque Chosroen inter et Siroen postmodum contigerint explorare satagimus, missis in varia loca, atque ad Siarsura, parvum Zabas, Chalcas et Jesdem, utraque via, tum ex felicissimis castris nostris, tum ex Saracenis pio nostro imperio subjectis, ut quemadmodum praefati sumus, motus qui ibi sunt, certo resciremus, adduxerunt ad nos excubitores in castra ad Canzaca Persam unum, et alterum Armenium, a quibus porrecta nobis est Epistola a quodam Persarum Secretario cui nomen est Chosdae et Aximaranan, ad nos scripta, qua missum se significabat a Siroe in Persarum Regem proclamato, cum aliis proceribus, et ipsius Sirois ad nos literis: cumque ad Arman pervenisset, visum sibi esse ut duos istos viros ad nos mitteret, quo vicissim seque ac socios tutos incolumesque deducerent, a nobis mitterentur. Ut autem illum sibi timere intelleximus, ex eo quod in itinere multa Persarum cadavera, eaque usque ad tria circi-

του ἡμῶν στρατοῦ ἀπὸ τοῦ Ναρβὰν περὶ τὰ γ σκηνώματα, καὶ
ὅτι ἐκ τούτου δειλιάσας ἐφοβήθη χωρὶς τῶν διασωστῶν καταλα-
βεῖν πρὸς ἡμᾶς. καὶ τῇ κε' τοῦ αὐτοῦ μαρτίου μηνὸς ἀπελύσα-
μεν πρὸς αὐτοὺς Ἠλίαν τὸν ἐνδοξότατον στρατηλάτην τὸν ἐπί-
κλην Βαρσοκὰ καὶ Θεόδοτον τὸν μεγαλοπρεπέστατον δρουγγά-
ριον μετὰ νεωτέρων καὶ κ' ἵππων ἀδιστράτων σελλαρίων ὀφειλόν-
των ἀπαντηθῆναι καὶ διασῶσαι αὐτοὺς πρὸς ἡμᾶς. μετ' αὐτῶν
δὲ συνείδαμεν πέμψαι καὶ Γουσδανάσπαν τὸν Ῥαζεὶ τὸν χιλίαρ-
χον τοῦ Περσικοῦ στρατοῦ τὸν ἐλθόντα πρὸς ἡμᾶς, ὅτε ἡ ταρα- R 914
χὴ ἐγένετο μετὰ τοῦ Σειροίου καὶ Χοσρόου. καὶ τῇ λ' τοῦ μαρ- B
τίου μηνὸς ἐδεξάμεθα ἀπόκρισιν ἐν αὐτῷ τῷ ἀπλήκτῳ ἡμῶν τῷ
πλησίον τοῦ Κανζάκων ἀπὸ Ἠλία καὶ Θεοδότου καὶ Γουσδανάσπα
ὡς ὅτι μέγαν χειμῶνα εὗρον εἰς τὸ ὄρος τοῦ Ζᾶρα, καὶ ὅτι ἐξέ-
λαβον ἐκ τῶν καστελλίων Πέρσας καὶ ἄλογα, καὶ οὕτω κόπτουσι
τοὺς χιόνας, καὶ ὅτι ἐγνώσθη αὐτοῖς πλησιάσαι ἐν τοῖς μέρεσιν
ἐκείνοις τοὺς πρεσβευτὰς τοὺς πεμφθέντας ἀπὸ Σειροίου τοῦ βα-
σιλέως, ἀλλ' ὅτι ἐκ τοῦ μέγαν χειμῶνα γενέσθαι οὐκ ἠδυνήθη-
σαν ὑπερβῆναι τὸ ὄρος τοῦ Ζᾶρα. καὶ ἐκ τούτου ἔγνωμεν ἡμεῖς
καὶ πάντες οἱ τῶν φιλοχρίστων ἡμῶν ἐκστρατευμάτων ἐπὶ τὸ
πλέον ὅτι ἡ τοῦ θεοῦ εὐμένεια καὶ ἀγαθότης ὡδήγησεν ἡμᾶς καὶ C
ὁδηγεῖ καὶ διασώζει. εἰ γὰρ συνέβη ἡμᾶς ὀλίγας ἡμέρας ἐμβραδῦ-

1. στρατοῦ om. R, in m. post εὐτυχεστάτου supplens στρατοπέδου. 12. τοῦ om. P. ib. καὶ postremum om. R, uncis inclusit P. 13. ἐξέβαλον V, ἐξέβαλλον P. 14. Πέρσαν P. 21: ἐνβραδῦναι PV.

ter millia, a felicissimis copiis nostris interfectorum versus Narban videret, absque conductoribus nos convenire vereretur: xxv. ejusdem Martii mensis ad illos misimus gloriosissimum Magistrum militum Eliam, cognomento Barsoca, et Magnificentissimum Theoderum Drungarium, cum delecta juventute, ac xx. equis dextrariis sella instructis, qui illis occurrerent, eosque ad nos deducerent. Placuit etiam his adjungere Gusdanaspan Rusei filium, Persicarum copiarum Tribunum, qui ad nos venerat, cum inter Siroen et Chosroen tumultus primum exarsit, xxx. porro Martii mensis dum in ipsis nostris castris juxta Canzaca versaremur ab Elia, Theodoro et Gusdanaspa responsum accepimus, quo nobis significabant se in altissimas nives in monte Zara incidisse, missumque sibi ex castellis Persam, cum animalibus seu equis, sicque nives discidisse: legatos vero a Siroe Rege missos, hisce proximus esse ubi tum degebant partibus se accepisse, sed propter immodicas nives, montem Zaram superare non potuisse. Unde maxime percepimus, nos una cum Christi-amantibus copiis nostris, Dei clementiam et bonitatem omnino deducere tutesque ac incolumes servare. Etenim si vel paucos dies cunctati ad montem Za-

ναι ἐπὶ τὰ μέρη τοῦ Ζάρα, καὶ εἶθ' οὕτω γενέσθαι τὸν χειμῶνα, δαπανῶν τοσούτων μὴ εὑρισκομένων ἐν τοῖς τόποις ἐκείνοις, εἰς μεγάλην βλάβην εἶχεν ἐλθεῖν τὰ εὐτυχέστατα ἡμῶν ἐκστρατεύματα. ἐξότε γὰρ ἐκινήσαμεν ἐκ τοῦ Σιαρσούρων, τουτέστιν ἀπὸ τῆς κδʹ τοῦ φεβρουαρίου μηνός, μέχρι τῆς λʹ τοῦ μαρτίου μηνὸς οὐκ ἐνέδωκεν χιονίζειν. ἀλλὰ διὰ τοῦ θεοῦ ἐλθόντες ἐπὶ
V 819 τὰ μέρη τοῦ Κανζάκων ηὕραμεν δαπάνας πολλὰς καὶ ἀνθρώπων
D καὶ ἀλόγων, καὶ ἐν αὐτῇ τῇ πόλει τοῦ Κανζάκων ἐμείναμεν, τελείᾳ οὔσῃ καὶ ἐχούσῃ περὶ τοὺς τρισχιλίους οἴκους, καὶ ἐν τοῖς πέριξ χωρίοις, ὥστε δυνηθῆναι ἡμᾶς τοσαύτας ἡμέρας ἐν ἑνὶ τόπῳ ἐπιποιῆσαι· καὶ ἐκελεύσαμεν τοῖς τῶν φιλοχρίστων ἡμῶν ἐκστρατευμάτων ἵνα τὰ ἄλογα αὐτῶν εἰς τοὺς οἴκους τῆς πόλεως βάλωσι διὰ τὸν γενόμενον χειμῶνα καὶ ἵνα πρὸς ἕνα ἵππον εἷς ἕκαστος αὐτῶν ἔχῃ εἰς τὸ ἄπληκτον ἡμῶν· πλησίον γὰρ αὐτῆς τῆς πόλεώς ἐστιν τὸ φωσᾶτον ἡμῶν· ὁ γὰρ βαρισμάνας τῆς πόλεως τοῦ Κανζάκων καὶ πάντες οἱ κτήτορες αὐτῆς, ἡνίκα ἔμαθεν ὑπερβῆναι ἡμᾶς εἰς τὸ ὄρος τοῦ Ζάρα, ἀνεχώρησαν καὶ εἰς ὀρεινοὺς
P 401 τόπους ἀπῆλθαν εἰς ὀχυρώτερα καστέλλια. ἡνίκα δὲ ἐδεξάμεθα τοὺς δύο ἀνθρώπους τοὺς πεμφθέντας ἀπὸ Σειροέου τοῦ βασιλέως Περσῶν, τὸν ἕνα ἐξ αὐτῶν, τουτέστιν τὸν Πέρσην, ἀπε-
R 916 λύσαμεν μετὰ καὶ ἑτέρων ἀνθρώπων πρὸς τὸν βαρισμανᾶν τοῦ Κανζάκων, ἀπὸ μʹ μιλίων ὄντα καὶ εἰς καστέλλιν ὀχυρόν, καὶ

4. ἔξω τε V, ἔξωθεν P. 13. ἕκαστον P. 14. ἔχῃ] ἔχει VR, ἐκεῖ P. ib. τῇ P. 15. βριασμάνας R. 16. ἔμαθον P. 18. ἀπῆλθον P. 21. βαρισμανῆν P. 22. καστέλλον P, καστέλλων R.

ram fuissemus, ac deinde ejusmodi nives immodicae decidissent, tanta in illis locis annonae copia deficiente, in magnas prorsus difficultates incidisset noster exercitus. Ex quo enim ex Siarsuris castra movimus, scilicet a xxiv. Februarii mensis, usque ad xxx. Martii mensis, ningere non desiit. Verum, Deo juvante, cum in Canzacorum regionem venissemus, magnam commeatus copiam invenimus, tum hominum, tum equorum: sed et in ipsa Canzacorum urbe mansimus, sat ampla, quaeque domos ter mille complectitur, tum etiam in vicinis locis; ita ut complures dies uno in loco morari nobis licuerit, praecepimusque copiis nostris Christi-amantibus, ut equos suos in urbis aedes propter nives ingruentes deducerent, ita ut ex militibus singuli equum unicum in castris servarent: proxima enim hanc urbem ea sunt. Barismanas enim urbis Canzacorum, civesque illius omnes, ut montem Zaram nos superasse intellexere, recesserunt, ac in montes et in munitiora castella confugerunt. Ut vero duos illos viros a Siroe Persarum Rege missos recepimus, alterum ex iis, Persam scilicet, una cum aliis ad Barismanem Canzacorum, qui a xl. milliaribus aberat, et in munitum castellum se recluserat, misimus, datis ad illum lite-

ἐποιήσαμεν πρὸς αὐτὸν ὑπομνηστικὸν ἵνα κἂν ζ' ἄλογα λόγῳ τῶν πρεσβευτῶν εὐτρεπίσῃ, εἰς τὸ ἐν συντόμῳ καὶ ἀνεμποδίστως ἀπελθεῖν αὐτοὺς πρὸς Σειρόην βασιλέα Περσῶν. καὶ δεξάμενος τοὺς πεμφθέντας παρ' ἡμῶν ὁ βαρισμανὰς καὶ τὸ τοιοῦτον ἡμῶν ὑπομνηστικόν, ἐπὶ πολλὰς ὥρας εὐφήμησαν καὶ ἡμᾶς καὶ Σειρόην βασιλέα Περσῶν καὶ αὐτὸς καὶ πάντες οἱ εὑρεθέντες ἐκεῖσε. B ἐπληροφορήθησαν γὰρ ἐκ τοῦ πεμφθέντος Πέρσου ἀπὸ τοῦ πρεσβευτοῦ ὅτι ὁ θεομάχος Χοσρόης ἀπώλετο καὶ ὅτι βασιλεὺς Περσῶν Σειρόης ἐγένετο, καὶ ἀντέγραψεν ἡμῖν ὁ αὐτὸς βαρισμανᾶς ὅτι πρὸς τὰ παρ' ἡμῶν ἐγκελευσθέντα αὐτῷ τὰ ἄλογα τῶν πρεσβευτῶν ἐνευτρεπῆ ποιεῖ, καὶ ἡνίκα δέξηται δευτέραν ἡμῶν κέλευσιν περιέχουσαν καταλαβεῖν τοὺς πρεσβευτάς, πρὸς ἡμᾶς αὐτὸς δι' ἑαυτοῦ ὁ βαρισμανᾶς ἔρχεται φέρων τὰ τοιαῦτα ἄλογα, ὀφείλων πᾶσαν ὑπουργίαν καὶ δουλείαν ἐκτελέσαι. ἐπιποιησάντων δὲ ἡμῶν ἐν αὐτῷ τῷ ἀπλήκτῳ τῷ πλησίον τοῦ Κανζάκων ἕως C τῆς τρίτης τοῦ ἀπριλλίου μηνός, ἐπεκατέλαβεν Φαϊὰκ ὁ ἀδσηκρῆτις ὁ καὶ Ῥασνᾶν περὶ ὥραν δευτέραν, κυριακῆς οὔσης. καὶ αὐτῇ τῇ ὥρᾳ ἐδεξάμεθα αὐτόν, καὶ ἐπέδωκεν ἡμῖν ὑπομνηστικὸν Καβάτου τοῦ καὶ Σειροΐου τοῦ ἡμερωτάτου βασιλέως Περσῶν, περιέχοντα τὴν ἀναγόρευσιν αὐτοῦ καὶ ὅτι θέλει μεθ' ἡμῶν καὶ μετὰ ἑκάστου ἀνθρώπου εἰρήνην ἔχειν. συνείδαμεν οὖν τὸ ἴσον τοῦ ὑπομνηστικοῦ Καβάτου τοῦ καὶ Σειροΐου τοῦ ἡμερω-

1. ζ' P. 3. Σειροίην P sola. 16. ἀσηκρῆτις P. 17. Ῥαρνᾶ P. 18. ἀπέδωκεν P. 19. καὶ om. P. 22. τοῦ secundum om. P.

ris, quibus mandabatur, uti equos VII. pro legatis pararet, quo expedite ac sine ullo impedimento ad Siroen Regem possent proficisci. Barismanas vero, acceptis ab Imperatore missis legatis, nostrisque sacris literis, et qui tum cum illo aderant, nos et Siroen Persarum Regem, per multas horas, faustis acclamationibus laudibusque prosecuti sunt. A legato quippe illo Persa, perduellem Dei Chosroen periisse, Regemque Siroen proclamatum certiores erant facti. Rescripsit deinde nobis idem Barismanas, equos se, sicut a nobis mandatum fuerat, instruxisse, et cum alteram nostram jussionem acceperit, qua legatorum adventus sibi significaretur, se quamprimum ad nos accessurum, equisque confestim adductis, officia sua servitiaque omnia praestiturum. Cum igitur in iisdem ad Canzaca positis castris essemus morati usque ad III. mensis Aprilis diem, qui in Dominicam incidit, advenit Phaiacus Regi A Secretis, qui et Rharna vocabatur, circa horam secundam, eumdemque hac ipsa hora excepimus, literis a Cabata Siroe clementissimo Persarum Rege, quae ejus inaugurationem continebant, quibusque nobiscum, et cum quovis hominum, pacem habere velle significabat, ab illo acceptis. Visum ergo nobis est clementissimi Cabatae Sirois literarum exemplar huic nostrae ad vos jussioni

τάτου ὑποτάξαι τῇ παρούσῃ ἡμῶν κελεύσει, εἶθ' οὕτω δὲ καὶ τὸ
παρ' ἡμῶν ἀντιγραφὲν αὐτῷ ὑποτάξαι. ἕως δὲ τῆς ἑβδόμης τοῦ
D *ἀπριλίου μηνὸς ἐν αὐτῷ τῷ ἀπλήκτῳ ἡμῶν ἐποιήσαμεν τῷ πλη-*
σίον τοῦ Καντζάκων, τουτέστιν τὰς κζ' ἡμέρας, καὶ τῇ ὀγδόῃ
τοῦ αὐτοῦ μηνὸς ἀπελύσαμεν τὸν αὐτὸν Φαιὰκ τὸν ἀσηκρῆτις
τὸν καὶ Ῥασνᾶν, κατὰ τὸ ἐνδεχόμενον θεραπεύσαντες αὐτὸν καὶ
πάντας τοὺς μετ' αὐτοῦ, ἐπειδὴ ἔσχεν μετ' αὐτοῦ καὶ πρόσωπα
εὐυπόληπτα, καὶ ἀπελύσαμεν μετ' αὐτοῦ Εὐστάθιον τὸν μεγαλο-
πρεπέστατον ταβουλάριον. καὶ οὕτω θαῤῥοῦμεν εἰς τὸν κύριον
R 918 *ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀγαθὸν καὶ παντοδύναμον θεὸν καὶ*
εἰς τὴν δέσποιναν ἡμῶν τὴν θεοτόκον, ὅτι πάντα τὰ καθ' ἡμᾶς
πρὸς τὴν ἀγαθότητα αὐτῶν ἔχουσι διοικῆσαι.

V 320 *Καὶ ἡμεῖς δὲ τῇ η' τοῦ αὐτοῦ μηνὸς ἐκινήσαμεν σὺν θεῷ*
P 402 *ἐκ τοῦ ἀπλήκτου ἡμῶν, ὀφείλοντες τῇ ὁδῷ ἡμῶν χρήσασθαι τῇ*
ἐπὶ Ἀρμενίαν. ἀλλὰ καλῶς ποιεῖτε ἀδιαλείπτως καὶ ἐκτενέστερον
εὐχόμενοι ὑπὲρ ἡμῶν, ἵνα ὁ θεὸς ἀξιώσῃ ἡμᾶς, ὡς ἐπιθυμοῦ-
μεν, ἰδέσθαι ὑμᾶς.

6. *Ῥαρνᾶν* P. 13. *ἡμᾶς* P. *ib.* *κ'* R. 15. *ἀδιαλήπτως* PV.
16. *ἀξιώσει* PV.

subjungere, ut et quid ad illas deinde rescripserimus. A septimo igitur mensis Aprilis die, in iisdem nostris ad Canzaca castris XXVII. dies exegimus: ac ejusdem mensis octavo, ipsum Pheacum A Secretis, Rharsan appellatum, honorifice quantum licuit acceptum, ut et qui cum illo erant, dimisimus; habebat enim secum promiscuum famulitium. Cum illo vero misimus magnificentissimum Tabularium Eustathium. Atque ita confidimus Dominum nostrum Jesum Christum bonum et omnipotentem Deum, et Dominam nostram Dei Genitricem res omnes nostras secundum eorum clementiam curaturos."

„Nos porro ejusdem mensis die VIII. Deo auspice, castra movimus, in Armeniam iter facturi. Vos autem bene valete, continuasque ac indefessas orationes ad Deum fundite, quo, sicut peroptamus, vos quamprimum revisere nobis largiatur."

Ἴσον ὑπομνηστικοῦ γενομένου ἀπὸ Καβάτου τοῦ καὶ Σειροίου τοῦ ἡμερωτάτου βασιλέως Περσῶν πρὸς Ἡράκλειον τὸν εὐσεβέστατον καὶ θεοφύλακτον ἡμῶν βασιλέα.

Παρὰ Καβάτου Σαδασαδασὰχ Ἡρακλείῳ τῷ ἡμερωτάτῳ βασιλεῖ B *Ῥωμαίων τῷ ἡμετέρῳ ἀδελφῷ πλείστην χαρὰν ἀπονέμομεν.*

Τῷ ἡμερωτάτῳ βασιλεῖ Ῥωμαίων καὶ ἀδελφῷ ἡμῶν.

Ἡμεῖς διὰ τῆς προστασίας τοῦ θεοῦ καλοποδίνως τῷ μεγάλῳ διαδήματι ἐκοσμήθημεν καὶ τοῦ θρόνου τῶν πατέρων καὶ γονέων ἡμῶν ἐπελαβόμεθα. διὰ γοῦν τὸ οὕτως εὐεργετικῶς ἀξιωθῆναι ἡμᾶς ὑπὸ τοῦ θεοῦ τοῦ ἐπιλαβέσθαι τοῦ τοιούτου θρόνου C *καὶ τῆς δεσποτείας συνείδαμεν, εἴ τί ἐστι πρὸς ὠφέλειαν καὶ θεραπείαν τῆς ἀνθρωπότητος, διαπράξασθαι πρὸς τὸ ἡμῖν ἐνδεχόμενον, καὶ ὡς ἔπρεπεν, εὐεργετικῶς ἐκελεύσαμεν γενέσθαι. ἐπὰν ὁ θεὸς ἀφιέρωσεν ἡμᾶς εἰς τοιοῦτον μέγαν θρόνον καὶ δεσποτείαν, πρόθεσιν ἔχομεν τοῦ ἀπολῦσαι ἕκαστον καὶ οἱονδήποτε ἄνθρωπον κατεχόμενον ἐν φρουρᾷ. καὶ λοιπόν, εἴ τί ἐστι πρὸς ὠφέλειαν καὶ θεραπείαν τῆς ἀνθρωπότητος καὶ τῆς πολιτείας ταύτης καὶ ἐνδεχόμενον ἦν κελευσθῆναι παρ' ἡμῶν, ἐκελεύσα-*

10. διὰ γοῦν] διασοῦν PV. 15. ὁ om. P.

E X E M P L A R

commonitorii a Cabata, qui et Siroes dictus est, clementissimo Rege Persarum, missi ad Heraclium piissimum et a Deo servatum nostrum Imperatorem.

A Cabata Sadasadasac, Heraclio clementissimo et a Deo servato Imperatori Romanorum, Fratri nostro, plurimam gratiam impertimur.

Clementissimo Imperatori Romanorum, et Fratri nostro.

„Nos Dei providentia absque ullo labore insigni diademate donati, patrum ac majorum nostrorum solium sumus consecuti. At cum tam benefice ab ipso Deo nos dignatos agnoscamus, ut illustrem adeo thronum exceperimus ac dominationem, si quid esset quod humani generis utilitati ac solatio conduceret, quantum in nobis fuit, et prout decuit, id continuo fieri liberaliter beneficeque imperavimus. Quandoquidem igitur ad summam hanc dignitatem et imperium nos Deus evexit, id protinus in animo statutum fuit, ut quotquot homines detinebantur in vinculis dimitterentur. Sed et si quid erat quod humanae conditionis ac hujusce vitae utilitati ac commodo fructum afferret, nobisque statuere liceret, id

μεν, καὶ ἐγένετο. καὶ τοιαύτην πρόθεσιν ἔχομεν, ἵνα μεθ' D ὑμῶν τοῦ βασιλέως τῶν Ῥωμαίων καὶ ἀδελφοῦ ἡμῶν καὶ τῆς Ῥωμαϊκῆς πολιτείας καὶ τῶν λοιπῶν ἐθνῶν καὶ ἑτέρων βασιλίσκων τῶν κύκλῳ ὄντων τῆς ἡμετέρας πολιτείας ἐν εἰρήνῃ καὶ ἀγάπῃ διάγωμεν. διὰ δὲ τὸ χαροποιηθῆναι τὴν ἀδελφότητα ὑμῶν τοῦ βασιλέως τῶν Ῥωμαίων τοῦ ἐπιλαβέσθαι ἡμᾶς τοῦ αὐτοῦ θρόνου, ...

πρωτοτύπως μὲν π . . . . .
ραν ἀδελφότητα καὶ . . . .
μετέραν παραγενέσθαι ἀδελ . . . .
ἀδσηκρῆτις τὸν καὶ Ῥασνᾶν· σ . . . .
ὑπάρχοντα· ἀλλ' ἡ ἀδελφότης . . . .
θεσιν· καὶ ἀγάπην ἡμῶν καὶ φιλίαν . . . .
ἔχομεν πρὸς τὴν ἀδελφότητα ὑμῶν . . . .
πρὸς αὐτὴν ἀλλὰ καὶ πρὸς τ. . . . .
ἀλλὰ διὰ τὴν ἀγάπην ἡμῶν . . . .
μεῖς τοὺς ἀνθρώπους τοὺς κρατήσ . . . .
πολιτείας ταύτης παρὰ τοῦ . . . .
ἀδελφότητος ὑμῶν ἀπολυθ . . . .
δὲ κελεύσατε τοῦ παντοίως . . . .
νέσθαι εἰς τὴν ἡμετέραν ἀπὸ . . . .
τείαν· καὶ περὶ τόπου . . . .
θαι εἰρήνη καὶ . . . .
οἵαν αἴτησιν ἔχετε . . . .
ἡμᾶς καὶ δι' αὐτ . . . .

7. ἐλλιπὲς ἦν τὸ τέλος ὑπὸ τῆς ἀρχαιότητος subscribit P, quibus adduntur in codice haec, ab Radero omissa: Ὑπὸ Ἀνδρέου Δαρμαρίου τοῦ Ἐπιδαυρίου υἱοῦ Γεωργίου εἴληφε τέρμα σὺν θεῷ ἐν τῷ ἔτει αφογ΄. ἰουλ. α΄. ἐν Δερίδᾳ τῆς Καταλωνίας. Vide Hardtii catal. Bibl. Bavar. vol. V. p. 416. 8. πρωτοτύπως et caetera usque ad finem accesserunt ex V. 10. Supplendum ἀδελφότητα Φαιδὰν τόν. 14. ἡμῶν V.

fieri non modo praecepimus, sed et confectum est. Quinetiam nobis deliberatum est ac constitutum, uti vobiscum, Romanorum Imperator, Frater noster, cumque Romana Republica, caeterisque populis, ac aliis Regulis, qui circa imperium nostrum undique habitant, pacem et amicitiam deinceps colamus. Quod autem Fraternitas vestra, Romanorum Imperator, affectam se gaudio dixit, quod nos eundem Thronum obtinuerimus," . . . . .

Caetera prae aetustate desiderantur in Cod. MS.

. . . . Ῥωμαίων· πλείστην
. . . . καὶ σημαίνομεν ὡς ὅτι τὸ
. . . . φθὲν ἡμῖν παρὰ τῆς ὑμε-
. . . . διὰ Φαιὰκ χ . . . δαηχ τοῦ ἀδση-
κρῆτις τοῦ καὶ Ῥασνὰν ἐδεξάμεθα, καὶ ἐγνωκότες
. . . τοῦ θεοῦ ἐπ' εὐτυχίᾳ τῷ βασιλικῷ δια
. . . θέντες εἰς τὸν θρόνον τῶν γονέων
. . . προγόνων ἐκαθίσατε· πολλῷ πλέον
. . . ν καὶ παρακαλοῦμεν τὸν θεὸν
. . . υς χρόνους ἐν εὐπραγίᾳ καὶ ἐν εὐ-
. . . ω· καὶ εἰρήνῃ μεγάλῃ ἀξιώσει ὑμᾶς
. . . τοῦ θρόνου τῶν γονέων σου καὶ
. . . ὃ δὲ ἐδηλώσατε ἡμῖν διὰ τοῦ ὑπο
. . . ὅτι ἡνίκα εἰς τὸν τοιοῦτον θρόνον
. . . τὴν δεσποτείαν ὑμῶν ἀπελάβετε
. . αι τοὺς ἀπὸ διαφόρων . . . .
. . . οὐ μὴν ἀλλὰ καὶ τὰ . . .
. . . γεσίαν τῶν ἀνθρώπων· ἐ . . .
. . . ρόθεσιν . . . την . . . .
. . . . ὑπὸ τοῦ . . . .
. . . . ἀμφότεροι . . . .

2. Restituenda haec collata p. 735. 6. ib. σημαίνομεν V. 3. φθὲν] Supplendum τὸ ὑπομνηστικὸν τὸ πεμφθὲν et mox ὑμετέρας ἀδελφότητος. Ad δαη videndum an pertineat Χοσδάη p. 730. 14. 5. τοῦ] τον V. ib. καὶ Ῥασνὰν] In apographo ναν, cui ab initio desunt sex instar litterarum. 6. δια] Supplendum διαδήματι. 7. θέντες] Supplendum κοσμηθέντες. 10. εὐπραγίᾳ V. 11. ἀξιώσει] Scribendum ἀξιώσῃ. Praecesserat enim ἵνα. 13. ὃ V. Tum supplendum ὑπομνηστικοῦ. 15. ἀπελάβετε V. Initio versus legendum ἐκαθίσατε καὶ τήν. 18. Legendum εὐεργεσίαν, et mox πρόθεσιν.

CORRIGENDA.

P. 40. 19. 20. Scribe *ἀποδοθῇ. ὅμως — ἀσεβεῖν.*"
P. 45. 5. Scribe *Πέμπτῃ — γενεᾷ.* 16. in annot. pro V scribe R.
P. 48. 11. in annot. scribe 10.
P. 56. 8. in annot. scribe PV.
P. 57. 2. in annot. scribe *Σαμαραῖοι.* Idque recipiendum.
P. 58. 17. in annot. verba postrema tria tolle.
P. 61. 13. Scribe *Σινᾶ.* 18. *Κηφισσός.* 21. *Εἶρμος* cum annotatione: *Εἶσμος* R.
P. 63. 1. Dele comma post *κοίλης.* 2. Scribe *Ἔμισα*, ut scripsi p. 520. 5.
P. 80. 15. in margine adde V 37, et 11. R ante 104.
P. 94. 11. *ἄκυροι.*"
P. 115. 18. Immo *ἀναστρεφομένου.*
P. 163. 20. Malim *χρῖμα.*
P. 179. 11. Expungenda Raderi annotatio.
P. 212. 8. *ἀπὸ ἑσπέραν*] Confer annot. ad p. 713. 6.
P. 223. 11. in annot. scribe *Βενιαμήν.*
P. 225. 18. Scribe *συν-άγεσθαι.*
P. 250. 22. *τέσσαρις*] Alia huius formae scriptura est apud Theophanem p. 158. C, *χιλιάδες τεσσάρεις.*
P. 267. 10. *Ξενοφάνης Κολοφῶνος*] Generis loquendi, quod notavimus etiam p. 343. 13., duo alia exempla sunt inscriptiones epistolae apud Montefalconium Biblioth. Coisl. p. 455. *τῷ θείῳ αὐτοῦ τῷ Κρήτης*, et libelli apud Allatium Graeciae Orthod. vol. II. p. 959. *Μανουὴλ ὁ τοῦ Κρήτης ἀνεψιός:* ubi non erat quod *Κρητὶ* et *Κρητὸς* reponeret doctissimus Titzius in commentatione de Moschopulo p. 6. 7.
P. 269. in annot. pro *ibid.* scribe 3.
P. 286. 17. in annot. scribe P sola.
P. 342. 9. in annot. dele *sola.*
P. 349. 6. *φκζ*] *φπζ* Maius ad Eusebium p. 360.
P. 354. 10. in annot. scribe P sola.
P. 359. 8. in annot. scribe P sola.
P. 366. 7. Scribe *κατηρικωμένην*, ut monitum ad p. 523. 16.
P. 367. 19. *καταγνοὺς αὐτῆς μοιχείας*] Codicis scripturam *μοιχείας* iam in ed. Scaligeri p. 200. mutatam in *μοιχείαν* video. Sed recte se habet genitivus. Sozomenus Hist. Eccles. I. 1. *ἵνα δὲ μή τις ἀγνοίᾳ τῶν ὄντων καταψηφίσηται ψεύδους τῆς πραγματείας.* ibid. 5. *ψεύδους κατηγορεῖν τῶν πλασαμένων.* II. 22. *συκοφαντίας κατέγνω τῶν κατηγόρων.* Euagrius VI. quasi extremo, *μηδεὶς ἡμᾶς γραφέτω μέμψεως.*
P. 368. 6. Scribe *ἐλλούλ.* 13. *μαῖον.* 18. *δ΄ ἔτος΄.*
P. 371. 20. *θεελεὶφ*] Sic est apud Syncellum p. 12. 11. ed. Bonn.
P. 372. 10. Scribe *σκηνοπηγίων.*
P. 390. 10. Scribe *κτίστης.*
P. 400. 16. 471. 14. Scribe *Κλεοπᾶς.*
P. 401. 13. in margine scribe 214.
P. 476. 1. in annot. scribe 2.
P. 489. 13. Scribe *Παννωνίαις.*
P. 544. 20. Scribe *πολλά,*
P. 557. 14. in annot. pro IX. scribe XI.
P. 560. 16. Scribe *Βιργιτινῶν.*
P. 570. 14. Scribe *καλάνδαις.*
P. 651. in annot. scribe 20. 22.
P. 695. in annot. v. 6. ante *εἶτα* pone punctum.